ΠΑΝΝΥΧΙϹ

ΕΙΣΑΓΩΓΗ

«Παννυχὶς» ὠνομάζετο ἀκολουθία τοῦ ᾀσματικοῦ ἢ κοσμικοῦ βυζαντινοῦ τυπικοῦ, ψαλλομένη κατὰ τὸ ἑσπέρας ἐν εἴδει μικρᾶς ἀγρυπνίας εἰς τὴν θέσιν περίπου τοῦ μοναχικοῦ μεγάλου ἀποδείπνου, μετὰ τοῦ ὁποίου ἔχει καί τινα κοινὰ σημεῖα. Ἀρχικῶς, κατὰ τὴν μαρτυρίαν Συμεὼν τοῦ Θεσσαλονίκης (Διάλογος κατὰ πασῶν τῶν αἱρέσεων καὶ περὶ ... τῶν ἱερῶν τελετῶν τε καὶ μυστηρίων πάντων τῆς Ἐκκλησίας, κεφ. ΤΜΖ', *Migne* PG 155, 625 B), ἐτελεῖτο «κατὰ πᾶσαν ἑσπέραν»· ὕστερον ἡ τέλεσις αὐτῆς περιωρίσθη εἰς μόνην τὴν Μεγάλην Τεσσαρακοστὴν καὶ τελικῶς εἰς τὴν πρώτην μόνον ἑβδομάδα αὐτῆς καὶ εἰς τὴν Μεγάλην Ἑβδομάδα. Εἰς τὴν παλαιοτάτην πρᾶξιν τῆς καθ' ἡμέραν τελέσεως τῆς παννυχίδος ἀνάγονται ἀναμφιβόλως αἱ εὐχαὶ αὐτῆς, εἰς οὐδεμίαν ἐκ τῶν ὁποίων γίνεται σαφὴς ἢ καὶ ἔμμεσός τις ὑπαινιγμὸς περὶ τῆς περιόδου τῶν Νηστειῶν. Εἰς τοῦτο συνηγοροῦν καὶ αἱ ὑπὸ τῶν χειρογράφων τιθέμεναι εἰς αὐτὰς ἐπιγραφαί, εἰς οὐδεμίαν ἐκ τῶν ὁποίων δίδεται εἰδικός τις προσδιορισμὸς περὶ τῆς περιόδου ταύτης· ἀντιθέτως αἱ εὐχαὶ τῆς παννυχίδος τίθενται παρὰ τὰς λοιπὰς κοινὰς εὐχὰς τῆς ἀκολουθίας τοῦ νυχθημέρου. Ὅσα ἐκ τῶν χειρογράφων προσδιορίζουν ὡς χρόνον τῆς τελέσεως τῆς παννυχίδος τὰς «ἁγίας νηστείας» ἢ ἀνάγονται εἰς μεταγενεστέραν ἐποχὴν ἢ περιέχουν στοιχεῖα προσιδιάζοντα εἰς τὴν περίοδον ταύτην.

Ἤδη ὅμως κατὰ τὸν Ι' αἰῶνα ἡ παννυχίς, κατὰ τὴν μαρτυρίαν τοῦ Τυπικοῦ τῆς Μεγάλης Ἐκκλησίας Κωνσταντινουπόλεως (κῶδιξ Τιμίου Σταυροῦ 40 καὶ Πάτμου 266), ἐτελεῖτο μόνον καθ' ὡρισμένας ἑορτὰς τοῦ ἔτους, κατὰ τὴν Α' ἑβδομάδα τῶν Νηστειῶν καὶ κατὰ τὴν Μεγάλην Ἑβδομάδα. Κείμενόν τι ὑπὸ τὸν τίτλον «Διήγησις ψυχωφελὴς πάνυ περὶ

Θεοφίλου τοῦ βασιλέως, ὅπως ὁ φιλάνθρωπος...συγγνώμην δέδωκε τῷ Θεοφίλῳ καὶ ἄφεσιν ἁμαρτιῶν» ἀποδίδει τὴν ἀρχικὴν σύστασιν τῶν παννυχίδων τῆς Α΄ ἑβδομάδος τῶν Νηστειῶν εἰς τὸν πατριάρχην Μεθόδιον, ἐπὶ τῷ σκοπῷ ὅπως διὰ τῶν δεήσεων τούτων δοθῇ ἄφεσις ἁμαρτιῶν εἰς τὸν Θεόφιλον καὶ προσθέτει· «Ἔκτοτε οὖν καὶ μέχρι τῆς δεῦρο ἐξετέθησαν αἱ παννυχίαι ἐν τῇ Μεγάλῃ τοῦ Θεοῦ Ἐκκλησίᾳ τῇ πρώτῃ ἑβδομάδι τῆς ἁγίας Τεσσαρακοστῆς» (*W. Regel*, Analecta Byzantinorussica, Petropoli 1891, σελ. 31-33). Ἡ πληροφορία εἶναι ἀπίθανος. Αἱ παννυχίδες προϋπῆρχον τοῦ ἔτους 843· ὁ περιέχων τὰς εὐχὰς αὐτῶν Βαρβερινὸς κῶδιξ ἀνάγεται εἰς τὸ τέλος τοῦ Η΄ αἰῶνος. Αἱ παννυχίδες τῆς Α΄ ἑβδομάδος τῶν Νηστειῶν εἶχον κατανυκτικὸν χαρακτῆρα. Χαρακτηριστικὴ εἶναι ἡ περὶ αὐτῶν σημείωσις τοῦ ἀνωτέρω Τυπικοῦ: «Δεῖ δὲ εἰδέναι ὅτι δι' ὅλης τῆς ἑβδομάδος αἱ συνήθεις πάννυχοι στάσεις ἐπιτελοῦνται ἐν τῇ ἁγιωτάτῃ Ἐκκλησίᾳ ὑπὲρ λύτρου καὶ ἀφέσεως τῶν ἡμετέρων πλημμελημάτων, ὅπως Κύριος ὁ Θεὸς ἡμῶν λυτρώσηται ἡμᾶς τῆς μελλούσης κρίσεως» (κῶδ. Τιμίου Σταυροῦ 40, φ. 216ν, *J. Mateos*, Le Typicon de la Grande Église, τ. II, Roma 1963, σελ. 14). Αἱ τῆς Μεγάλης Ἑβδομάδος ἠκολούθουν τὴν ἰδίαν πρὸς τὰς τῆς Α΄ ἑβδομάδος τάξιν, ὡς περὶ αὐτῶν σημειοῖ τὸ αὐτὸ Τυπικόν: «Δεῖ εἰδέναι ὅτι δι' ὅλης τῆς ἑβδομάδος αἱ παννύχιαι στάσεις ἐν τῇ ἁγιωτάτῃ Μεγάλῃ Ἐκκλησίᾳ γίνονται καθὼς καὶ ἐν τῇ Α΄ ἑβδομάδι τῶν Νηστειῶν» (φ. 225ν, *J. Mateos*, ἔνθ' ἀνωτ., σελ. 66). Κατὰ τὸ Τυπικὸν τῆς Μεγάλης Ἑβδομάδος τοῦ ναοῦ τῆς Ἀναστάσεως τῶν Ἱεροσολύμων τοῦ ἔτους 1122 (κῶδ. Τ. Σταυροῦ 43) ᾀσματικαὶ παννυχίδες ἐτελοῦντο ἐν τῷ ναῷ τούτῳ κατὰ τὴν Μεγάλην Δευτέραν, Μεγάλην Τρίτην καὶ Μεγάλην Τετάρτην (*Ἀ. Παπαδοπούλου - Κεραμέως*, Ἀνάλεκτα Ἱεροσολυμιτικῆς Σταχυολογίας, τ. Β΄, Πετρούπολις 1894, σελ. 51. 66. 83)· κατὰ τὸ Τυπικὸν τῆς Ἁγίας Σοφίας Θεσσαλονίκης (*Συμεὼν Θεσσαλονίκης*, Ὑποτύπωσις ἐν συνόψει τῶν ἀκολουθιῶν τῶν ἑορτῶν τοῦ ὅλου ἐνιαυτοῦ, κῶδ. Ἐθνικῆς Βιβλιοθήκης Ἀθη-

νῶν 2047, φ. 22rα) μόνον κατὰ τὴν Α' ἑβδομάδα τῶν Νηστειῶν, ἐνῷ αἱ τῆς Μεγάλης Ἑβδομάδος εἶχον ἤδη ὑποκατασταθῆ ὑπὸ τῶν μοναχικῶν ἀκολουθιῶν τῶν ἡμερῶν τούτων.

Αἱ τελευταῖαι περὶ τῶν ᾀσματικῶν παννυχίδων μαρτυρίαι εὕρηνται παρὰ τῷ Συμεὼν Θεσσαλονίκης, ὁ ὁποῖος παρέχει καὶ τὴν τελευταίαν τούτων περιγραφὴν (Διάλογος..., κεφ. ΤΝϚ', *Migne* PG 155, 660-661). Κατὰ τὴν ἐποχὴν ὅμως ταύτην τὴν ἀρχικὴν θέσιν τῆς ἀκολουθίας ταύτης εἶχε καταλάβει τὸ μοναχικὸν ἀπόδειπνον, ἡ παννυχὶς δ' ἐτελεῖτο συναπτῶς πρὸς τὴν λειτουργίαν τῶν Προηγιασμένων ὡς τελευταία τῆς δευτέρας ὁμάδος τῶν ἀκολουθιῶν τῆς Α' ἑβδομάδος τῶν Νηστειῶν (τριθέκτη, μοναχικὸς ἑσπερινός, προανάγνωσις, ᾀσματικὸν λυχνικὸν μετὰ Προηγιασμένης καὶ ᾀσματικὴ παννυχίς). Ἡ ὅλη ἀκολουθία ἤρχιζε περὶ τὴν δ' ὥραν τῆς ἡμέρας· ἑπομένως ἡ παννυχὶς ἐτελεῖτο κατὰ τὰς πρώτας μεταμεσημβρινὰς ὥρας (Ὑποτύπωσις ..., ἔνθ' ἀνωτ.), ἐνῷ κατὰ τὸ Τυπικὸν τοῦ ναοῦ τῆς Ἀναστάσεως ἐτελεῖτο μὲν συναπτῶς πρὸς τὴν Προηγιασμένην, ἀλλ' ἡ ὅλη ἀκολουθία ἤρχιζε τὸ ἑσπέρας καὶ ἡ παννυχὶς θὰ ἐτελεῖτο, ὡς καὶ ἀρχικῶς, κατὰ τὰς πρώτας ὥρας τῆς νυκτὸς (*Α. Παπαδοπούλου - Κεραμέως*, ἔνθ' ἀνωτ., σελ. 51).

Περὶ τῆς ᾀσματικῆς παννυχίδος βλέπε *M. Arranz*, Les prières presbytérales des Petites Heures dans l' ancien Euchologe byzantin, ἐν Orientalia Christiana Periodica, τ. 39 (1973), σελ. 29-82 (ἰδίᾳ σελ. 54-55) καὶ εἰδικὴν μελέτην τοῦ ἰδίου Les pières presbytérales de la «Pannychis» de l' ancien Euchologe byzantin et la «Pannychida» des defunts, ἔνθ' ἀνωτ., τ. 40 (1974), σελ. 314-343 καὶ τ. 41 (1975), σελ. 119-139.

Ἡ τάξις τῆς ᾀσματικῆς παννυχίδος ἔχει ἐπισημανθῆ εἰς ἱκανὸν ἀριθμὸν χειρογράφων. Ταῦτα κατὰ χρονολογικὴν σειρὰν εἶναι τὰ ἑξῆς:

α') Βαρβερινὸς 336, Η'-Θ' αἰῶνος, φ. 119r - 123v («Εὐ-

χὴ ἑσπερινὴ ἀντιφώνου α΄ τῆς παννυχίδος, εὐχὴ ἀντιφώνου β΄» κλπ.).

β΄) Σινᾶ 956, Ι΄ αἰῶνος («Εὐχαὶ τῆς παννυχίδος»). A. *Dmitrievskij*, Opisanie liturgitseskich rucopisej, τ. II, Εὐχολόγια, Kiev 1901, σελ. 13-15.

γ΄) Σινᾶ 958, Ι΄ αἰῶνος, φ. 44v - 46v («Εὐχαὶ τῆς παννυχίδος»). A. *Dmitrievskij*, ἔνθ' ἀνωτ., σελ. 23.

δ΄) Λένινγκραδ 226, Ι΄ αἰῶνος («Εὐχαὶ ἐπὶ παννυχίδα»). *M. Arranz*, Les prières presbytérales de la «Pannychis», ἔνθ' ἀνωτ., σελ. 327.

ε΄) Σεβαστιάνωφ 474, Ι΄-ΙΑ΄ αἰῶνος. *M. Arranz*, ἔνθ' ἀνωτ., σελ 328.

ς΄) Σινᾶ 959, ΙΑ΄ αἰῶνος, φ. 144r - 146v («Γερμανοῦ πατριάρχου εὐχαὶ εἰς παννυχίδα»). *A. Dmitrievskij*, ἔνθ' ἀνωτ., σελ. 62.

ζ΄) Δρέσδης Α 104, ΙΑ΄ αἰῶνος («Ἀντίφωνα καὶ εὐχαὶ τῆς παννυχίδος τῶν ἁγίων Νηστειῶν»). *J. Mateos*, ἔνθ' ἀνωτ., σελ. 204-209.

η΄) Παρισίων (Coislin.) 213, ἔτους 1027, φ. 60v - 63r («Εὐχαὶ κατὰ παννυχίδα»). *A. Dmitrievskij*,, ἔνθ' ἀνωτ., σελ. 1002.

θ΄) Παντελεήμονος Ἄθω 162, ΙΑ΄ - ΙΒ΄ αἰῶνος, φ. 1r - 4r (ἀκέφαλον). *A. Dmitrievskij*, ἔνθ' ἀνωτ., σελ. 39.

ι΄) Σινᾶ 961, ΙΑ΄ - ΙΒ΄ αἰῶνος, φ. 34r - 37r («Εὐχὴ ἀντιφώνου α΄ τῆς παννυχίδος» κλπ.). *A. Dmitrievskij*, ἔνθ' ἀνωτ., σελ. 77.

ια΄) Σινᾶ 962, ΙΑ΄ - ΙΒ΄ αἰῶνος, φ. 63r - 66r («Εὐχαὶ τῶν παννυχίδων»). *A. Dmitrievskij*, ἔνθ' ἀνωτ., σελ. 65.

ιβ΄) Κρυπτοφέρρης G b I, ΙΑ΄ - ΙΓ΄ αἰῶνος. *M. Arranz*, ἔνθ' ἀνωτ., σελ. 327.

ιγ΄) Τιμίου Σταυροῦ 43, 1122 ἔτους. *Ἀ. Παπαδοπούλου - Κεραμέως*, ἔνθ' ἀνωτ., σελ. 51. 66. 83.

ιδ΄) Βατικανοῦ (Ottob.) 344, ἔτους 1177 (μόνον ἡ α΄ εὐχή). *M. Arranz*, ἔνθ' ἀνωτ., σελ. 329.

ιε΄) Βατικανοῦ 1970, ΙΒ΄ αἰῶνος. *M. Arranz*, ἔνθ' ἀνωτ., σελ. 328.

ις΄) Παρισίων (Coislin.) 214, ΙΒ΄ αἰῶνος. *M. Arranz*, ἔνθ' ἀνωτ., σελ. 331.

ιζ΄) Κρυπτοφέρρης G b XIV, ΙΓ΄ αἰῶνος. *M. Arranz*, ἔνθ' ἀνωτ., σελ. 331.

ιη΄) Βατικανοῦ (Ottob.) 434, ΙΓ΄ αἰῶνος. *M. Arranz*, ἔνθ' ἀνωτ., σελ. 331.

ιθ΄) Πατριαρχείου 'Αλεξανδρείας 149. 104 (94), ΙΔ΄ αἰῶνος, φ. 108r - 110v («Ἀντίφωνα καὶ εὐχαὶ τῆς παννυχίδος τῶν ἁγίων Νηστειῶν»). *A. Dmitrievskij*, ἔνθ' ἀνωτ., σελ. 350-351.

κ΄) Παντοκράτορος Ἄθω 149, ΙΕ΄ αἰῶνος (αἱ εὐχαὶ χαρακτηρίζονται «ποίημα Γερμανοῦ πατριάρχου Κωνσταντινουπόλεως εἰς ἑορταζομένους ἁγίους»). *A. Dmitrievskij*, ἔνθ' ἀνωτ., σελ. 486.

καὶ κα΄) Μ. Λαύρας Ἄθω Ω 129, ἔτους 1522, φ. 6r - 7v («Εὐχαὶ τῆς παννυχίδος»). *A. Dmitrievskij*, ἔνθ' ἀνωτ., σελ. 747.

Ἐκ τῶν χειρογράφων τούτων τὰ πλεῖστα περιέχουν τὰ εἰς τὸν ἱερέα ἀφορῶντα μέρη τῆς ἀκολουθίας, ἤτοι μόνον τὰς εὐχάς. Τὰ Δρέσδης Α 104 καὶ Τ. Σταυροῦ 43 μόνον τὰς τυπικὰς διατάξεις. Πληρέστερον εἶναι τὸ Πατρ. 'Αλεξανδρείας 149. 104 (94) τὸ περιέχον καὶ τὰς εὐχὰς καὶ τὰ εἰς τὸν χορὸν ἀφορῶντα στοιχεῖα. Ὑπὸ τοῦ Συμεὼν Θεσσαλονίκης παρέχεται περιγραφὴ τῆς παννυχίδος, ὡς κατὰ τὴν ἐποχήν του ἐτελεῖτο (Διάλογος..., κεφ. ΤΝϚ΄, *Migne* PG 155, 660-661). Ὑπὸ τοῦ κώδικος Τ. Σταυροῦ 40 τοῦ Ι΄ αἰῶνος (φ. 216v καὶ 225v, *J. Mateos*, ἔνθ' ἀνωτ., σελ. 14. 66), ὡς καὶ ὑπὸ τῆς Ὑποτυπώσεως τοῦ Συμεὼν Θεσσαλονίκης (κῶδ. 'Αθηνῶν 2047, ΙΕ΄ αἰῶνος, φ. 22ra) δίδονται συμπληρωματικαί τινες πληροφορίαι περὶ αὐτῆς.

Ἐπὶ πασῶν τῶν πηγῶν τούτων στηριχθέντες ἐπεχειρήσαμεν τὴν ἀποκατάστασιν τῆς ᾀσματικῆς ἀκολουθίας τῆς κατανυκτικῆς παννυχίδος, ὡς αὕτη ἐτελεῖτο κατὰ τὴν

Α΄ ἑβδομάδα τῶν Νηστειῶν (πρβλ. καὶ *Ε. Ἀντωνιάδου*, Περὶ τοῦ ᾀσματικοῦ ἢ βυζαντινοῦ κοσμικοῦ τύπου τῶν ἀκολουθιῶν τῆς ἡμερονυκτίου προσευχῆς, ἐν Ἀθήναις 1951, σελ. 53-56). Ἡ τάξις τῆς παννυχίδος κατὰ τὰς παραμονὰς τῶν ἑορτῶν ἦτο περίπου ἡ αὐτὴ πρὸς τὴν ἀνωτέρω. Περὶ τὸ τέλος τῆς ἀκολουθίας παρενεβάλλετο τὸ κοντάκιον μετὰ τῶν οἴκων ἢ ὁ κανὼν τοῦ ἁγίου.

Ἡ ἀποκατάστασις παρουσιάζει πολλὰς δυσχερείας καὶ τοῦτο διότι αἱ πηγαὶ καλύπτουν περίοδον ἑπτὰ ὁλοκλήρων αἰώνων καὶ ὡς ἐκ τούτου αἱ διαφοραὶ αὐτῶν, λόγῳ τῆς ἐν τῷ μεταξὺ ἐξελίξεως τῆς ἀκολουθίας καὶ τῶν κατὰ τόπους παραλλαγῶν, δὲν εἶναι μικραί. Ἰδοὺ συγκριτικῶς πῶς ἡ ἀκολουθία ἔχει εἰς τὰς πηγὰς καὶ ποῖαι αἱ κατὰ τὴν ἀποκατάστασιν προτιμηθεῖσαι λύσεις:

Ἡ διὰ τοῦ «Ε ὐ λ ο γ η μ έ ν η ἡ β α σ ι λ ε ί α...» ἔναρξις μαρτυρεῖται ὑπὸ τοῦ κώδικος Δρέσδης Α 104· «εἰσερχομένου τοῦ πατριάρχου διὰ τῆς πλαγίας εἰς τὸ ἱερατεῖον καὶ εὐχομένου καὶ τοῦ ἀρχιδιακόνου λέγοντος Ἐὐλόγησον, δέσποτα' εἶτα τοῦ πατριάρχου ἐκφωνοῦντος Ἐὐλογημένη ἡ βασιλεία'...». Κατὰ τὸ Τυπικὸν τοῦ ναοῦ τῆς Ἀναστάσεως (Τ. Σταυροῦ 43) καὶ τὸν Συμεὼν ἡ ἔναρξις αὕτη παρελείπετο, διότι ἡ παννυχὶς ἐτελεῖτο συναπτῶς πρὸς τὴν λειτουργίαν τῶν Προηγιασμένων, «μετὰ τὴν ὀπισθάμβωνον εὐχὴν» αὐτῆς (Συμεὼν) ἢ «εὐθὺς μετὰ τὴν κοινωνίαν» (Τ. Σταυροῦ 43). Πρὸ τῆς ἐνάρξεως τῆς ἀκολουθίας, κατὰ τὸν Συμεών, ὁ ἱερεὺς ἢ ὁ ἀρχιερεὺς ηὐλόγει τὸν ψάλτην.

Ὁ ϟ΄ ψ α λ μ ό ς («Ὁ κατοικῶν ἐν βοηθείᾳ τοῦ Ὑψίστου»), ἀρχαῖον στοιχεῖον τῆς ἀκολουθίας τῶν ἀποδείπνων (*Μ. Βασιλείου*, Ὅροι κατὰ πλάτος 37, *Migne* PG 31, 1016 B), ἐψάλλετο ἀμέσως μετὰ τὴν εὐλογίαν τῆς ἐνάρξεως, κατὰ μὲν τὸν κώδικα Δρέσδης Α 104 ὑπὸ τοῦ «δευτερεύοντος», κατὰ δὲ τὸν Συμεὼν ὑπὸ τοῦ «ψάλτου». Προφανῶς ἐψάλλετο κατὰ τὸν συνήθη εἰς τὰς ᾀσματικὰς ἀκολουθίας τρόπον, ἤτοι μετ' ἐφυμνίου, τὸ ὁποῖον ἐπανελαμβάνετο μεθ' ἕκαστον στίχον ὑπὸ τοῦ λαοῦ, ἐνῷ ὁ διάκονος ἢ ὁ ψάλτης ἐστιχολόγει

τὸν ψαλμόν. Τὸ ἐφύμνιον τοῦ ψαλμοῦ τούτου («Φύλαξόν με, Κύριε») εἶναι γνωστὸν ἐκ τοῦ πίνακος ἢ κανόνος τῶν «ἀντιφώνων τῶν ψαλμῶν τῆς τοῦ Θεοῦ Μεγάλης Ἐκκλησίας» (*Π. Τρεμπέλα*, Ἐκλογὴ Ἑλληνικῆς Ὀρθοδόξου Ὑμνογραφίας, Ἀθῆναι 1949, σελ. 39-40). Εἰς τὸ τέλος τοῦ ψαλμοῦ («εἰς τὸ πλήρωμα») κατὰ τὸν κώδικα τῆς Δρέσδης ἐπανελαμβάνετο τρὶς τὸ ἡμιστίχιον 9β «Τὸν Ὕψιστον ἔθου καταφυγήν σου» καὶ ἡ ψαλμῳδία κατεκλείετο, ὡς συνήθως, διὰ τῆς μικρᾶς δοξολογίας («Δόξα καὶ νῦν»). Ὁ Συμεὼν δὲν γνωρίζει τὴν ἐπανάληψιν τοῦ ἡμιστιχίου 9β. Ἡ ψαλμῳδία τοῦ ψαλμοῦ τούτου δὲν μαρτυρεῖται ὑπὸ τῶν κωδίκων Τ. Σταυροῦ 43 καὶ Πατρ. Ἀλεξανδρείας 149. 104 (94).

Ἐπηκολούθει ἡ σ υ ν α π τ ή. Ὑπὸ τοῦ κώδικος τῆς Δρέσδης καὶ τοῦ Συμεὼν δὲν προσδιορίζεται ἂν ἐλέγετο ἡ μεγάλη συναπτὴ (τὰ εἰρηνικὰ) ἢ ἡ μικρὰ («Ἔτι καὶ ἔτι...»). Τὸ Τυπικὸν τῆς Ἀναστάσεως δὲν ὁμιλεῖ περὶ τῆς συναπτῆς ταύτης, οὔτε καὶ περὶ τῶν ἄλλων συναπτῶν. Εἶναι ὅμως γνωστὸν ἐκ τῶν παραλλήλων τῶν ἄλλων ᾀσματικῶν ἀκολουθιῶν, ὅτι τοῦ Α΄ ἀντιφώνου προηγεῖτο πάντοτε ἡ μεγάλη συναπτὴ καὶ τῶν ἄλλων αἱ μικραί. Τοῦτο ἐμμέσως δύναται νὰ συναχθῇ καὶ ἐκ τῆς ἐν προκειμένῳ μαρτυρίας τοῦ Συμεών· εἰς τὸ Α΄ ἀντίφωνον χρησιμοποιεῖ τὸν ὅρον «συναπτή», ἐνῷ εἰς τὰ ἕτερα δύο τὸ «μικρὰ συναπτή».

Αἱ ε ὐ χ α ὶ τῶν τριῶν ἀντιφώνων τῆς παννυχίδος καὶ αἱ ἐκφωνήσεις αὐτῶν εἶναι κατὰ πάντας τοὺς κώδικας αἱ αὐταί. Προφανῶς, ὡς ἐκ τοῦ ὕφους καὶ τοῦ λεξιλογίου αὐτῶν καταφαίνεται, αὗται μετὰ τῶν δύο τελευταίων εὐχῶν εἶναι ἔργα ἑνὸς καὶ τοῦ αὐτοῦ συγγραφέως, κατὰ τοὺς κώδικας δὲ Σινᾶ 969 καὶ Παντοκράτορος 149 τοῦ πατριάρχου Κωνσταντινουπόλεως Γερμανοῦ. Ἂν ὀρθῶς ἀποδίδωνται εἰς αὐτόν, ὁ Γερμανὸς οὗτος πρέπει νὰ εἶναι ὁ Α΄ (715-730), διότι ἀπαντοῦν ἤδη εἰς χειρόγραφον τοῦ Η΄-Θ΄ αἰῶνος (Βαρβερινὸς 336). Ὁ Γερμανὸς Β΄ εἶναι μεταγενέστερος (1222-1240). Αἱ εὐχαὶ ἀναφέρονται εἰς τὴν νυκτερινὴν δοξολογίαν, εἶναι δὲ ἐννοιολογικῶς καὶ φραστικῶς ὡραῖαι, δικαίως χαρακτηρι-

ζόμεναι ὑπὸ τοῦ Συμεὼν ὡς «θαυμάσιαι...ἐξαιρέτως». Ἡ φυσικὴ καὶ ἀρχικὴ αὐτῶν θέσις ἐν τῇ ἀκολουθίᾳ εἶναι ἡ ἀμέσως μετὰ τὴν συναπτὴν καὶ πρὸ τῆς ἐκφωνήσεως, ὡς καὶ ὑπὸ τοῦ κώδικος τῆς Δρέσδης μαρτυρεῖται. Ὅτε ἐπεκράτησε νὰ λέγωνται μυστικῶς μετετέθησαν ἢ κατὰ τὴν συναπτήν, ἂν παρίστατο διάκονος, ἢ κατὰ τὴν ψαλμῳδίαν τοῦ ἀντιφώνου, ἂν ἐτέλει τὴν ἀκολουθίαν μόνος ὁ ἱερεύς. Τὴν τελευταίαν ταύτην τάξιν μαρτυρεῖ ὁ κῶδιξ Πατρ. Ἀλεξανδρείας 149. Κατὰ τὴν περιγραφὴν τοῦ Συμεὼν ἡ μὲν πρώτη εὐχὴ ἀνεγινώσκετο κατὰ τὴν ψαλμῳδίαν τοῦ Α΄ ἀντιφώνου, ἡ δευτέρα ὅμως καὶ ἡ τρίτη ὁμοῦ κατὰ τὸ Β΄ ἀντίφωνον, διότι κατὰ τὸ Γ΄ ἀντίφωνον ὁ ἱερεὺς ἐθυμία τὸν ναόν. Τὸ κείμενον τῶν εὐχῶν ἐλήφθη ἐκ τοῦ ἀρχαιοτέρου χειρογράφου, τοῦ Βαρβερινοῦ 336.

Ὡς ψαλμοὶ ἀντιφώνων ἐψάλλοντο οἱ τρεῖς πρῶτοι ψαλμοὶ ἐκ τῶν ᾠδῶν τῶν ἀναβαθμῶν τοῦ Ψαλτηρίου, ἤτοι ὁ ριθ΄, ρκ΄, καὶ ρκα΄, ὁ πρῶτος εἰς πλ. α΄ ἦχον οἱ δὲ δύο τελευταῖοι εἰς πλ. β΄. Μόνον ὁ Συμεών, ἴσως ἐκ παραδρομῆς, ὡς ψαλμὸν τοῦ Β΄ ἀντιφώνου ἀναγράφει τὸν «Πρὸς σέ, Κύριε, ἦρα τὴν ψυχήν μου» (κδ΄), συγχέων τὴν ἀρχὴν τοῦ ρκ΄ («Ἦρα τοὺς ὀφθαλμούς μου εἰς τὰ ὄρη») πρὸς τὴν ἀνωτέρω. Ἀρχικῶς φαίνεται ὅτι ἐψάλλοντο ὁλόκληροι οἱ ψαλμοὶ οὗτοι. Ἤδη ὅμως κατὰ τὸν ΙΑ΄ αἰῶνα οἱ στίχοι εἶχον περισταλῆ εἰς τέσσαρας, τοὺς δύο πρώτους καὶ τοὺς δύο τελευταίους ἑκάστου ψαλμοῦ. Τοῦτο ρητῶς μαρτυροῦν οἱ κώδικες Δρέσδης καὶ Πατρ. Ἀλεξανδρείας, ἐνῷ ὁ κῶδιξ Τ. Σταυροῦ 43 καὶ ὁ Συμεὼν οὐδὲν σχετικῶς ἀναφέρουν. Μόνον ὡς πρὸς τοὺς στίχους τοῦ Γ΄ ἀντιφώνου ὑπάρχει διαφωνία μεταξὺ τῶν κωδίκων. Κατὰ τὸν Δρέσδης ἀντὶ τῶν δύο τελευταίων στίχων (8ου καὶ 9ου) τοῦ ρκα΄ ψαλμοῦ («Ἕνεκα τῶν ἀδελφῶν μου...» - «Ἕνεκα τοῦ οἴκου...») ἐλαμβάνοντο ὁ 7ος καὶ ὁ 8ος («Γενέσθω δὴ εἰρήνη...» - «Ἕνεκα τῶν ἀδελφῶν μου...»). Ὁ 9ος στίχος ἢ παρελείπετο ἢ συνήπτετο μετὰ τοῦ 8ου. Ὁ τοῦ Πατρ. Ἀλεξανδρείας ὀρθότερον, ὡς φαίνεται, παραθέτει ἐνταῦθα τοὺς δύο τελευταίους στίχους, τὸν 8ον

καὶ τὸν 9ον. Ἕκαστος ψαλμὸς κατεκλείετο διὰ τῆς μικρᾶς δοξολογίας.

Ὡς ἐ φ ύ μ ν ι α ἐψάλλοντο καὶ εἰς τὰ τρία ἀντίφωνα ὁλόκληρα τροπάρια. Εἰς τὸ μὲν Α' ἀντίφωνον τὸ σύντομον κατανυκτικόν «Ὡς οἰκτίρμων, Κύριε...». Τὸ αὐτὸ τροπάριον ἀπαντᾷ ὡς ἐφύμνιον τοῦ οη' ψαλμοῦ κατὰ τὸ Γ' ἀντίφωνον τῆς ἀκολουθίας «εἰς διαφόρους λιτὰς καὶ ἀγρυπνίας παρακλήσεων» (*J. Goar* Εὐχολόγιον, sive Rituale Graecorum, Venetiis 1730², σελ. 607-6C8). Εἰς τὸ Β' τὸ θεοτοκίον «Τῆς εὐσπλαγχνίας τὴν πύλην...» καὶ εἰς τὸ Γ' τὸ κατανυκτικὸν «Ἐλέησον ἡμᾶς, Κύριε,...». Εἰς ταῦτα συμφωνοῦν πᾶσαι αἱ πηγαὶ πλὴν τοῦ Τυπικοῦ τῆς Ἀναστάσεως, τὸ ὁποῖον προβλέπει ὡς ἐφύμνιον εἰς μὲν τὸ Β' ἀντίφωνον τὸ «Ἐλέησον ἡμᾶς, Κύριε...» εἰς δὲ τὸ Γ' τὸ κατανυκτικὸν «Τὰ πλήθη τῶν πεπραγμένων μοι...».

Εἰς τὸ κείμενον δημοσιεύονται τὰ συντετμημένα ἀντίφωνα μετὰ πλήρων ἐφυμνίων - τροπαρίων. Εἰς τὸ Παράρτημα ὁλόκληροι οἱ ψαλμοὶ τῶν ἀντιφώνων μετὰ συντετμημένων ἐφυμνίων. Ἡ ψαλμῳδία δύναται νὰ γίνῃ κατὰ τὸν ἕνα ἢ τὸν ἄλλον τρόπον.

Μετὰ τὴν εἰς τὸ «Καὶ νῦν» τελευταίαν ἐπανάληψιν τοῦ ἐφυμνίου ἐψάλλετο τὸ αὐτὸ τροπάριον, κατὰ τὸ ἔθος τῆς ᾀσματικῆς ἀκολουθίας, ὡς π ε ρ ι σ σ ή, ἤτοι ἐντονώτερον καὶ μελῳδικώτερον. Μόνον μετὰ τὸ Γ' ἀντίφωνον δὲν ἐψάλλετο ἡ περισσή, ἀλλ' αὕτη μετετίθετο εἰς τὸ τέλος τοῦ ν' ψαλμοῦ, ὁ ὁποῖος, συναπτόμενος εἰς τὸν ρκα', συναπετέλει μετ' αὐτοῦ οἱονεὶ ἓν ἀντίφωνον. Εἰς τὴν θέσιν τῆς περισσῆς τοῦ ρκα' ψαλμοῦ, κατὰ τὴν μαρτυρίαν τοῦ Συμεών, ἐψάλλετο τὸ τέλος τοῦ ἐφυμνίου μόνον· τοῦτο ὅμως δὲν μαρτυρεῖται ὑπὸ τῶν ἄλλων πηγῶν.

Ὁ ν' ψ α λ μ ὸ ς ἐψάλλετο ἅπας, μετ' ἐφυμνίου «Ἐλεήμων Κύριε, ἐλέησόν με» κατὰ στίχον (κῶδ. Δρέσδης) ἢ «Ἐλεήμων Κύριε, ἐλέησον ἡμᾶς» (Συμεών). Ἡ εἰς ἑνικὸν ἀριθμὸν διατύπωσις αὐτοῦ εἶναι προφανῶς ἡ ὀρθοτέρα, ὡς συμφωνοτέρα πρὸς τὸν ἀρκτικὸν στίχον τοῦ ψαλμοῦ, ἐκ τοῦ

ὁποίου καὶ ἐμπνέεται, ὡς καὶ πρὸς τὸ διασωθὲν ἐν τῇ σημερινῇ πράξει ἐφύμνιον «Καὶ ἐλέησόν με, ὁ Θεός», τὸ ὁποῖον ἐπισυνάπτεται εἰς τὸν τελευταῖον στίχον τοῦ ψαλμοῦ τούτου κατὰ τὴν ψαλμῳδίαν αὐτοῦ εἰς τὸν ὄρθρον τῆς Κυριακῆς.

Ὡς πρὸς τὸ θυμίαμα, τοῦτο προσεφέρετο ὑπ' αὐτοῦ τοῦ πατριάρχου ἐν Κωνσταντινουπόλει καὶ Ἱεροσολύμοις καὶ ὑπὸ τοῦ ἱερέως εἰς τοὺς λοιποὺς ναούς. Ἐθυμιᾶτο τὸ θυσιαστήριον, ἢ «ὁ ἅγιος τάφος» ἐν Ἱεροσολύμοις, «ἔξω ὁ ναὸς καὶ ὁ λαὸς ὅλος, ὡς ἔθος» (Συμεών). Τοῦ θυμιῶντος προηγεῖτο ὁ διάκονος κρατῶν ἀνημμένην λαμπάδα· ἐλλείψει τούτου, ταύτην ἐκράτει αὐτὸς ὁ ἱερεύς. Ἡ θυμίασις δὲν ἐγίνετο κατὰ τὸν αὐτὸν χρόνον καθ' ὅλας τὰς πηγάς. Οὕτω κατὰ τὸ πατριαρχικὸν τυπικὸν τοῦ κώδικος τῆς Δρέσδης αὕτη ἤρχιζεν ἀπὸ τοῦ Α' ἀντιφώνου, προφανῶς διὰ τὸ μέγεθος τοῦ ναοῦ τῆς Ἁγίας Σοφίας Κωνσταντινουπόλεως· εἰς τὴν Ἁγίαν Σοφίαν Θεσσαλονίκης ἐγίνετο κατὰ τὸ Γ' ἀντίφωνον καὶ τὸν ν' ψαλμόν· εἰς τὸν ναὸν τῆς Ἀναστάσεως κατὰ τὸν ν' ψαλμόν. Ἀξιοσημείωτος εἶναι ἡ τυπικὴ διάταξις τοῦ κώδικος τῆς Δρέσδης: «Δεῖ δὲ γινώσκειν ὅτι ἅμα τῷ ἄρξασθαι τὸ πρῶτον ἀντίφωνον, ἤγουν τὸ 'Πρὸς Κύριον ἐν τῷ θλίβεσθαι ...', λαμβάνει ὁ πατριάρχης θυμιατὸν καὶ θυμιᾷ κύκλῳ τὴν ἁγίαν τράπεζαν, προηγουμένου τοῦ κανστρησίου μετὰ φατλίου, εἶτα τὰ ἀντιμίνσια, τὸ κυκλίον, καὶ λέγει· 'Δόξα σοι, Χριστὲ ὁ Θεός, ἀποστόλων καύχημα' καὶ τὰ λοιπά, ὡς κατὰ συνήθειαν. Καὶ ἐξέρχεται εἰς τὰ ἀριστερὰ ἀντιμίνσια διὰ τῶν ἁγίων θυρίων. Εἶτα, λαμβάνων τὸ φατλίον ἀπὸ τοῦ κανστρησίου, κουβουκλίσειος προήγειται· καὶ θυμιᾷ ὁ πατριάρχης τὸν ναὸν ὅλον κύκλῳ καὶ τὸν λαὸν καὶ κετέρχεται ἔξω τῆς σωλαίας τὸ ἀριστερὸν μέρος καὶ εἰσέρχεται ἐν τῷ ἄμβωνι καὶ διέρχεται διὰ τῆς σωλαίας καὶ εἰσέρχεται εἰς τὸ θυσιαστήριον καὶ ἀποδιδοὺς τὸν θυμιατόν, σφραγίζει μετὰ κηρίου» (*J. Mateos*, ἔνθ' ἀνωτ., σελ. 206).

Ὡς τῆς ἀναγνώσεως τοῦ εὐαγγελίου τοῦ μοναχικοῦ ὄρθρου προηγεῖται σήμερον διπλοῦν προκείμενον, ἓν κινητὸν καὶ ἓν σταθερόν, οὕτω καὶ τοῦ εὐαγγελικοῦ ἀναγνώσματος

τῆς παννυχίδος προηγεῖτο διπλοῦν προκείμενον. Αἱ δύο τάξεις εἶναι ἀκριβῶς ὅμοιαι. Τὸ κινητὸν προκείμενον συνάπτεται εἰς τὸ τελευταῖον ἀντίφωνον, ὡς τοῦ ὄρθρου εἰς τοὺς ἀναβαθμούς, καὶ τὸ σταθερὸν («Πᾶσα πνοὴ...») εἰσάγεται διὰ τῆς διακονικῆς παρακελεύσεως «Τοῦ Κυρίου δεηθῶμεν» καὶ τῆς ἐκφωνήσεως τοῦ ἱερέως «Ὅτι ἅγιος...». Ὁ μοναχικὸς ὄρθρος ἐδανείσθη ταῦτα ἐκ τῆς ᾀσματικῆς παννυχίδος. Τὸ κινητὸν προκείμενον δὲν μαρτυρεῖται ὑπὸ τοῦ Συμεών, ἀναγράφεται ὅμως εἰς τοὺς κώδικας τῆς Δρέσδης καὶ τοῦ Τ. Σταυροῦ 43. Ὁ πρῶτος κῶδιξ δὲν σημειοῖ ἂν τοῦτο ἐνηλλάσσετο καθ' ἑκάστην· τὸ Τυπικὸν ὅμως τῆς Ἀναστάσεως μνημονεύει τρία διάφορα δι' ἑκάστην τῶν τριῶν πρώτων ἡμερῶν τῆς Μεγάλης Ἑβδομάδος. Τὸ τοῦ κώδικος τῆς Δρέσδης (Ψαλμ. κη' 1. 11) ἦτο προφανῶς τὸ τῆς Δευτέρας τῆς Α' ἑβδομάδος, ὡς δύναται νὰ συναχθῇ ἐκ τῆς εὐθὺς ἀμέσως δηλουμένης εὐαγγελικῆς περικοπῆς τῆς ἡμέρας ταύτης (Λουκ. κα' 8-36).

Αἱ εὐαγγελικαὶ περικοπαὶ ἐνηλλάσσοντο. Εἰς τὰ σήμερον ἐν λειτουργικῇ χρήσει Εὐαγγέλια ἢ Εὐαγγελιστάρια εὕρηται σειρὰ πέντε περικοπῶν εἰλημμένων καὶ ἐκ τῶν τεσσάρων εὐαγγελιστῶν, προοριζομένων ὅπως ἀναγινώσκωνται «εἰς τὰς παννυχίδας τῆς Α' ἑβδομάδος τῶν Νηστειῶν» (Λουκ. κα' 8-36. Ματθ. ς' 1-13. Μάρκ. ια' 22-26 καὶ Ματθ. ζ' 7-8. Ματθ. ζ' 7-11. Ἰωάν. ιε' 1-7). Κοινὸν θέμα καὶ τῶν πέντε περικοπῶν τούτων εἶναι ἡ προσευχὴ (πρβλ. Λουκ. κα' 36. Ματθ. ς' 5-13. Μάρκ. ια' 24-26 καὶ Ματθ. ζ' 7-8. Ματθ. ζ', 7-11. Ἰωάν. ιε' 7). Σήμερον ἀναγινώσκονται εἰς τὸ τέλος τῆς ἀκολουθίας τοῦ ἀποδείπνου τῶν ἡμερῶν τούτων. Τὰ εὐαγγέλια τῶν παννυχίδων τῆς Μεγάλης Ἑβδομάδος διασῴζονται, ἐν μέρει τοὐλάχιστον, εἰς τὰ εὐαγγέλια τοῦ ὄρθρου τῶν ἡμερῶν τούτων, οἱ ὁποῖοι μάλιστα τελοῦνται καὶ κατὰ τὴν ὥραν τῆς τελέσεως τῆς ἀρχαίας ᾀσματικῆς παννυχίδος. Κατωτέρω παραθέτομεν τὴν συντομωτέραν τῶν περικοπῶν τούτων, τὴν τῆς Πέμπτης τῆς Α' ἑβδομάδος τῶν Νηστειῶν, ἐκτυποῦται δέ, ὡς καὶ τὸ κινητὸν προκείμενον, διὰ μικροτέ-

ρων τυπογραφικῶν στοιχείων ὡς ἐναλλασσομένη. Τὸ Εὐαγγέλιον ἀνεγίνωσκεν ὁ πρῶτος τῶν ἱερέων ἀπὸ τοῦ ἄμβωνος· εἰς δὲ τὰ Ἱεροσόλυμα ὁ πατριάρχης.

«Ἡ ἀσώματος φύσις», ἀρχαῖος ὕμνος εἰς στίχους ἐνδεκασυλλάβους ἀπαντῶν ἤδη εἰς πάπυρον τοῦ Ϛ΄ αἰῶνος, ἐψάλλετο εὐθὺς μετὰ τὴν εὐαγγελικὴν περικοπὴν κατὰ τὴν ἀκολουθίαν τῆς ᾀσματικῆς παννυχίδος, ὡς καὶ σήμερον κατὰ τὸ μέγα ἀπόδειπνον. Κατὰ τὰς παννυχίδας τῆς Μεγάλης Ἑβδομάδος ἐψάλλετο ἀντ' αὐτοῦ τροπάριον κατάλληλον τῇ ἡμέρᾳ μετὰ θεοτοκίου εἰς τὸ «Δόξα καὶ νῦν». Ταῦτα μαρτυροῦνται ὑπὸ τοῦ κώδικος Τ. Σταυροῦ 43.

Συναπτῶς, ἀντὶ ἐκτενοῦς, ἐψάλλετο τὸ «Κύριε, ἐλέησον». Περὶ τοῦ ἀριθμοῦ καὶ τοῦ τρόπου τῆς ψαλμῳδίας αὐτοῦ δὲν συμφωνοῦν αἱ πηγαί. Κατὰ τὸν κώδικα τῆς Δρέσδης ἐψάλλετο τεσσαρακοντάκις· κατὰ τὸ Τυπικὸν τῆς Ἀναστάσεως τοῦτο ἐψάλλετο ὑπὸ τοῦ διακόνου δωδεκάκις κατὰ τὴν Μεγάλην Δευτέραν καὶ τρὶς κατὰ τὴν Μεγάλην Τρίτην. Ὁ Συμεὼν παρουσιάζει συνθετωτέραν τάξιν· τὸ «Κύριε, ἐλέησον» ἐψάλλετο κατ' αὐτὸν τρὶς ὑπὸ τοῦ ψάλτου, εἶτα ἑκατοντάκις ὑπὸ «πάντων» καὶ πάλιν τρὶς ὑπὸ τοῦ ψάλτου. Πρὸ τῆς τριπλῆς τελευταίας ἐπαναλήψεως παρενεβάλλετο τὸ «Ἔτι δεόμεθα ὑπὲρ τοῦ εἰσακοῦσαι...» ὑπὸ τοῦ διακόνου καὶ μετὰ τὸ «Κύριε, ἐλέησον» ἡ ἐκφώνησις τοῦ ἱερέως «Ἐπάκουσον ἡμῶν, ὁ Θεός...». Ἐπὶ τῆς ἐποχῆς τοῦ Συμεὼν ἡ ἀκολουθία ἐνταῦθα εἶχεν ὑποστῆ φθοράν. Ἡ εὐχὴ τῆς ἀπολύσεως ἐλέγετο συναπτῶς πρὸς τὴν εὐχὴν τοῦ Γ΄ ἀντιφώνου κατὰ τὴν ψαλμῳδίαν τοῦ Β΄ ἀντιφώνου· κατὰ τὸ «Κύριε, ἐλέησον» ἀνεγίνωσκεν ὁ ἱερεὺς τὴν εὐχὴν τῆς κεφαλοκλισίας. Ἐνταῦθα ἠκολουθήσαμεν τὴν ἀρχαιοτέραν τάξιν ἔν τινι συνδυασμῷ πρὸς τὴν μεταγενεστέραν. Πάντες οἱ κώδικες συμφωνοῦν πρὸς τὴν ἀρχαιοτέραν πρᾶξιν.

Τὸ «Ἐν εἰρήνῃ προέλθωμεν» εἶναι ὁ κοινὸς τύπος ἀπολύσεως τῶν ᾀσματικῶν ἀκολουθιῶν. Πρὸ τούτου ὁ κῶδιξ Σινᾶ 958 παρεμβάλλει τὸ «Σοφία - Εὐλόγησον - Ὁ ὢν εὐλογητός...».

Τὰ πρὸ τῆς ἀπολύσεως παρεμβαλλόμενα κατὰ τὴν περιγραφὴν τοῦ Συμεὼν στοιχεῖα, ἤτοι τὸ «Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον...», ὁ λγ΄ ψαλμὸς καὶ ἡ κατ' αὐτὸν διανομὴ τοῦ ἀντιδώρου ἀνήκουν εἰς τὴν λειτουργίαν τῶν Προηγιασμένων, συναπτῶς πρὸς τὴν ὁποίαν ἐτελεῖτο ἡ παννυχίς.

Γενικῶς κατὰ τὴν ἀποκατάστασιν προετιμήσαμεν τὴν ἀρχαιοτέραν πρᾶξιν· ἐν περιπτώσει ἀμφιβολιῶν τὴν καλλίτερον μαρτυρουμένην ἐκ τῶν πηγῶν ἢ τῶν ἄλλων παραλλήλων τάξιν.

Δ. = *Διάκονος*
Ι. — *Ἱερεὺς*
Λ. = *Λαὸς*
* = *Ἀλλαγὴ στίχου (ἐπὶ ἐμμέτρου κειμένου)*

ΑΚΟΛΟΥΘΙΑ ΤΗΣ ΠΑΝΝΥΧΙΔΟΣ
ΤΗ ΠΡΩΤΗ ΕΒΔΟΜΑΔΙ ΤΩΝ ΝΗΣΤΕΙΩΝ

ΕΝΑΡΞΙΣ

Δ. Εὐλόγησον, δέσποτα.

Ι. Εὐλογημένη ἡ βασιλεία τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Λ. Ἀμήν.

Ψαλμὸς ϟ΄

Ὁ κατοικῶν ἐν βοηθείᾳ τοῦ Ὑψίστου, ἐν σκέπῃ τοῦ Θεοῦ τοῦ οὐρανοῦ αὐλισθήσεται. Φύλαξόν με, Κύριε.

Ἐρεῖ τῷ Κυρίῳ· Ἀντιλήπτωρ μου εἶ καὶ καταφυγή μου, ὁ Θεός μου, καὶ ἐλπιῶ ἐπ᾽ αὐτόν. Φύλαξόν με, Κύριε.

Ὅτι αὐτὸς ῥύσεταί σε ἐκ παγίδος θηρευτῶν καὶ ἀπὸ λόγου ταραχώδους. Φύλαξόν με, Κύριε.

Ἐν τοῖς μεταφρένοις αὐτοῦ ἐπισκιάσει σοι καὶ ὑπὸ τὰς πτέρυγας αὐτοῦ ἐλπιεῖς· ὅπλῳ κυκλώσει σε ἡ ἀλήθεια αὐτοῦ. Φύλαξόν με, Κύριε.

Οὐ φοβηθήσῃ ἀπὸ φόβου νυκτερινοῦ, ἀπὸ βέλους πετομένου ἡμέρας, ἀπὸ πράγματος ἐν σκότει διαπορευομένου, ἀπὸ συμπτώματος καὶ δαιμονίου μεσημβρινοῦ. Φύλαξόν με, Κύριε.

Πεσεῖται ἐκ τοῦ κλίτους σου χιλιὰς καὶ μυριὰς

ἐκ δεξιῶν σου, πρὸς σὲ δὲ οὐκ ἐγγιεῖ. Φύλαξόν με, Κύριε.

Πλὴν τοῖς ὀφθαλμοῖς σου κατανοήσεις καὶ ἀνταπόδοσιν ἁμαρτωλῶν ὄψει. Φύλαξόν με, Κύριε.

Ὅτι σύ, Κύριε, ἡ ἐλπίς μου· τὸν Ὕψιστον ἔθου καταφυγήν σου. Φύλαξόν με, Κύριε.

Οὐ προσελεύσεται πρὸς σὲ κακὰ καὶ μάστιξ οὐκ ἐγγιεῖ ἐν τῷ σκηνώματί σου. Φύλαξόν με, Κύριε.

Ὅτι τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ, τοῦ διαφυλάξαι σε ἐν πάσαις ταῖς ὁδοῖς σου. Φύλαξόν με, Κύριε.

Ἐπὶ χειρῶν ἀροῦσί σε, μήποτε προσκόψῃς πρὸς λίθον τὸν πόδα σου. Φύλαξόν με, Κύριε.

Ἐπὶ ἀσπίδα καὶ βασιλίσκον ἐπιβήσῃ καὶ καταπατήσεις λέοντα καὶ δράκοντα. Φύλαξόν με, Κύριε.

Ὅτι ἐπ' ἐμὲ ἤλπισε καὶ ῥύσομαι αὐτόν, σκεπάσω αὐτὸν ὅτι ἔγνω τὸ ὄνομά μου. Φύλαξόν με, Κύριε.

Κεκράξεται πρός με καὶ ἐπακούσομαι αὐτοῦ· μετ' αὐτοῦ εἰμι ἐν θλίψει· ἐξελοῦμαι αὐτὸν καὶ δοξάσω αὐτόν. Φύλαξόν με, Κύριε.

Μακρότητα ἡμερῶν ἐμπλήσω αὐτὸν καὶ δείξω αὐτῷ τὸ σωτήριόν μου. Φύλαξόν με, Κύριε.

Τὸν Ὕψιστον ἔθου καταφυγήν σου. Φύλαξόν με, Κύριε.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι. Φύ-

λαξόν με, Κύριε.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν. Φύλαξόν με, Κύριε.

ΟΜΑΣ ΑΝΤΙΦΩΝΟΥ Α'

Δ. Τὰ εἰρηνικὰ ἢ τὴν μεγάλην συναπτὴν

Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Λ. Κύριε, ἐλέησον.

Δ. Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης καὶ τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν τοῦ Κυρίου δεηθῶμεν.

Λ. Κύριε, ἐλέησον.

Δ. Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, εὐσταθείας τῶν ἁγίων τοῦ Θεοῦ Ἐκκλησιῶν καὶ τῆς τῶν πάντων ἑνώσεως τοῦ Κυρίου δεηθῶμεν.

Λ. Κύριε, ἐλέησον.

Δ. Ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου καὶ τῶν μετὰ πίστεως, εὐλαβείας καὶ φόβου Θεοῦ εἰσιόντων ἐν αὐτῷ τοῦ Κυρίου δεηθῶμεν.

Λ. Κύριε, ἐλέησον.

Δ. Ὑπὲρ τοῦ ἀρχιεπισκόπου ἡμῶν **(δεῖνος)**, τοῦ τιμίου πρεσβυτερίου, τῆς ἐν Χριστῷ διακονίας, παντὸς τοῦ κλήρου καὶ τοῦ λαοῦ τοῦ Κυρίου δεηθῶμεν.

Λ. Κύριε, ἐλέησον.

Δ. Ὑπὲρ τῶν εὐσεβεστάτων καὶ θεοφυλάκτων βασιλέων ἡμῶν, παντὸς τοῦ παλατίου καὶ τοῦ στρατοπέδου αὐτῶν τοῦ Κυρίου δεηθῶμεν.

Λ. Κύριε, ἐλέησον.

Δ. Ὑπὲρ τοῦ συμπολεμῆσαι καὶ ὑποτάξαι ὑπὸ τοὺς πόδας

αὐτῶν πάντα ἐχθρὸν καὶ πολέμιον τοῦ Κυρίου δεηθῶμεν.

Λ. Κύριε, ἐλέησον.

Δ. Ὑπὲρ τῆς πόλεως ταύτης, πάσης πόλεως, χώρας καὶ τῶν πίστει οἰκούντων ἐν αὐταῖς τοῦ Κυρίου δεηθῶμεν.

Λ. Κύριε, ἐλέησον.

Δ. Ὑπὲρ εὐκρασίας ἀέρων, εὐφορίας τῶν καρπῶν τῆς γῆς καὶ καιρῶν εἰρηνικῶν τοῦ Κυρίου δεηθῶμεν.

Λ. Κύριε, ἐλέησον.

Δ. Ὑπὲρ πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων καὶ τῆς σωτηρίας αὐτῶν τοῦ Κυρίου δεηθῶμεν.

Λ. Κύριε, ἐλέησον.

Δ. Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης τοῦ Κυρίου δεηθῶμεν.

Λ. Κύριε, ἐλέησον.

Δ. Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Λ. Κύριε, ἐλέησον.

Δ. Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, δεσποίνης ἡμῶν, Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Λ. Σοί, Κύριε.

I. Τὴν εὐχὴν τοῦ Α΄ ἀντιφώνου

Οἱ κατὰ τὸν καιρὸν τῆς ἡμέρας τῇ θεωρίᾳ τῆς

ἐν τῇ κτίσει μεγαλουργίας σου ἐντρυφήσαντες, Κύριε, καὶ δι' αὐτῆς σὲ τὸν γενεσιουργὸν τῶν ἁπάντων καὶ τῶν ὑπερφυῶν θαυμάτων ποιητὴν ὑπερεκπλαγέντες καὶ δοξάσαντες καὶ μετὰ τὴν ταύτης παρέλευσιν ἀξίως αἴνεσίν σοι προσάγομεν, κατανοοῦντες τῆς μεγάλης σου σοφίας τὴν πρόνοιαν, ὅτι ἔθου σκότος καὶ ἐγένετο νύξ, ἀνθρώποις μὲν κόπων ἀνάπαυσιν φέρουσα, θηρίοις δὲ τροφῆς πορισμόν· καὶ μετὰ τοῦ προφήτου βοῶμέν σοι· «Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε, πάντα ἐν σοφίᾳ ἐποίησας». Δεόμεθα δέ, φιλάνθρωπε δέσποτα, μὴ ἐπιδῦναι ἡμῖν ἐπὶ τῷ παροργισμῷ τῶν ἡμετέρων ἁμαρτιῶν σὲ τὸν τῆς δικαιοσύνης ἥλιον, ἀλλὰ διὰ παντὸς ἡμᾶς τῷ φωτισμῷ τῆς σῆς καταλάμπεσθαι χάριτος, ἵνα ἐν ἡμέρᾳ καὶ νυκτὶ δοξάζωμέν σου τὴν ἀκατάληπτον μεγαλειότητα.

(ἐκφώνως) Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Λ. Ἀμήν.

Τὸ Α' ἀντίφωνον. Ἦχος πλ. α'. Ψαλμὸς ριθ'

Πρὸς Κύριον ἐν τῷ θλίβεσθαί με ἐκέκραξα καὶ εἰσήκουσέ μου.

Ὡς οἰκτίρμων, Κύριε,* σπλαγχνίσθητι ἐπὶ τὸν λαόν σου,* ὡς μακρόθυμος διαλλάγηθι* καὶ ἐλέησον ἡμᾶς.

Κύριε, ῥῦσαι τὴν ψυχήν μου ἀπὸ χειλέων ἀδί-

κων καὶ ἀπὸ γλώσσης δολίας.

Ὡς οἰκτίρμων, Κύριε,* σπλαγχνίσθητι ἐπὶ τὸν λαόν σου,* ὡς μακρόθυμος διαλλάγηθι* καὶ ἐλέησον ἡμᾶς.

Μετὰ τῶν μισούντων τὴν εἰρήνην ἤμην εἰρηνικός.

Ὡς οἰκτίρμων, Κύριε,* σπλαγχνίσθητι ἐπὶ τὸν λαόν σου,* ὡς μακρόθυμος διαλλάγηθι* καὶ ἐλέησον ἡμᾶς.

Ὅταν ἐλάλουν αὐτοῖς ἐπολέμουν με δωρεάν.

Ὡς οἰκτίρμων, Κύριε,* σπλαγχνίσθητι ἐπὶ τὸν λαόν σου,* ὡς μακρόθυμος διαλλάγηθι* καὶ ἐλέησον ἡμᾶς.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Ὡς οἰκτίρμων, Κύριε,* σπλαγχνίσθητι ἐπὶ τὸν λαόν σου,* ὡς μακρόθυμος διαλλάγηθι* καὶ ἐλέησον ἡμᾶς.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

Ὡς οἰκτίρμων, Κύριε,* σπλαγχνίσθητι ἐπὶ τὸν λαόν σου,* ὡς μακρόθυμος διαλλάγηθι* καὶ ἐλέησον ἡμᾶς.

(Περισσή) Ὡς οἰκτίρμων, Κύριε,* σπλαγχνίσθητι ἐπὶ τὸν λαόν σου,* ὡς μακρόθυμος διαλλάγηθι* καὶ ἐλέησον ἡμᾶς.

ΟΜΑΣ ΑΝΤΙΦΩΝΟΥ Β΄

Δ. Τὴν μικρὰν συναπτὴν

Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Λ. Κύριε, ἐλέησον.

Δ. Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Λ. Κύριε, ἐλέησον.

Δ. Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, δεσποίνης ἡμῶν, Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Λ. Σοί, Κύριε.

I. Τὴν εὐχὴν τοῦ Β' ἀντιφώνου

Σὲ τὸ ἀΐδιον καὶ ἀνέσπερον φῶς, ὁ Θεὸς ἡμῶν, παρ' ᾧ οὐκ ἔστι παραλλαγὴ ἢ τροπῆς ἀποσκίασμα, ἐν τῷ παρόντι καιρῷ τῆς νυκτὸς ἀνυμνοῦντες δεόμεθα· συγγρηγορεῖν τοῖς σωματικοῖς ὀφθαλμοῖς καὶ τοὺς τῆς διανοίας ἡμῶν λογισμοὺς ἐν τῇ θεωρίᾳ τῆς δόξης σου καταξίωσον καὶ μή τινα νυσταγμὸν ψυχῆς ὑπομείναντας στερηθῆναι τῆς πνευματικῆς φωνῆς τῆς ἐν σοὶ ἀγαλλιάσεως καὶ ἐξομολογήσεως, ἀλλ' ἐν ψαλμοῖς καὶ ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς, ᾄδοντες ἐν ταῖς καρδίαις ἡμῶν καὶ ἐν τῷ στόματι ἡμῶν σοὶ τῷ Θεῷ, τῆς παρὰ σοῦ σωτηρίας τυχεῖν ἡμᾶς, ὅπως καὶ ἤχου τῶν ἑορταζόντων ἐν οὐρανοῖς ἀπολαύειν αἰωνίως ἀξιωθῶμεν.

(ἐκφώνως) Ὅτι ἡγίασται καὶ δεδόξασται τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Λ. Ἀμήν.

Τὸ Β΄ ἀντίφωνον. Ἦχος πλ. β΄. Ψαλμὸς ρκ΄

Ἦρα τοὺς ὀφθαλμούς μου εἰς τὰ ὄρη, ὅθεν ἥξει ἡ βοήθειά μου.

Τῆς εὐσπλαγχνίας τὴν πύλην* ἄνοιξον ἡμῖν,* εὐλογημένη Θεοτόκε·* ἐλπίζοντες εἰς σὲ* μὴ ἀστοχήσωμεν·* ῥυσθείημεν διὰ σοῦ τῶν περιστάσεων·* σὺ γὰρ εἶ ἡ σωτηρία* τοῦ γένους τῶν χριστιανῶν.

Ἡ βοήθειά μου παρὰ Κυρίου τοῦ ποιήσαντος τὸν οὐρανὸν καὶ τὴν γῆν.

Τῆς εὐσπλαγχνίας τὴν πύλην* ἄνοιξον ἡμῖν,* εὐλογημένη Θεοτόκε·* ἐλπίζοντες εἰς σὲ* μὴ ἀστοχήσωμεν·* ῥυσθείημεν διὰ σοῦ τῶν περιστάσεων·* σὺ γὰρ εἶ ἡ σωτηρία* τοῦ γένους τῶν χριστιανῶν.

Κύριος φυλάξει σε ἀπὸ παντὸς κακοῦ, φυλάξει τὴν ψυχήν σου ὁ Κύριος.

Τῆς εὐσπλαγχνίας τὴν πύλην* ἄνοιξον ἡμῖν,* εὐλογημένη Θεοτόκε·* ἐλπίζοντες εἰς σὲ* μὴ ἀστοχήσωμεν·* ῥυσθείημεν διὰ σοῦ τῶν περιστάσεων·* σὺ γὰρ εἶ ἡ σωτηρία* τοῦ γένους τῶν χριστιανῶν.

Κύριος φυλάξει τὴν εἴσοδόν σου καὶ τὴν ἔξοδόν σου ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος.

Τῆς εὐσπλαγχνίας τὴν πύλην* ἄνοιξον ἡμῖν,* εὐλογημένη Θεοτόκε·* ἐλπίζοντες εἰς σὲ* μὴ ἀστοχήσωμεν·* ῥυσθείημεν διὰ σοῦ τῶν περιστάσεων·* σὺ γὰρ εἶ ἡ σωτηρία* τοῦ γένους τῶν

χριστιανῶν.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Τῆς εὐσπλαγχνίας τὴν πύλην* ἄνοιξον ἡμῖν,* εὐλογημένη Θεοτόκε·* ἐλπίζοντες εἰς σὲ* μὴ ἀστοχήσωμεν·* ῥυσθείημεν διὰ σοῦ τῶν περιστάσεων·* σὺ γὰρ εἶ ἡ σωτηρία* τοῦ γένους τῶν χριστιανῶν.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

Τῆς εὐσπλαγχνίας τὴν πύλην* ἄνοιξον ἡμῖν,* εὐλογημένη Θεοτόκε·* ἐλπίζοντες εἰς σὲ* μὴ ἀστοχήσωμεν·* ῥυσθείημεν διὰ σοῦ τῶν περιστάσεων·* σὺ γὰρ εἶ ἡ σωτηρία* τοῦ γένους τῶν χριστιανῶν.

(Περισσή) Τῆς εὐσπλαγχνίας τὴν πύλην* ἄνοιξον ἡμῖν,* εὐλογημένη Θεοτόκε·* ἐλπίζοντες εἰς σὲ* μὴ ἀστοχήσωμεν·* ῥυσθείημεν διὰ σοῦ τῶν περιστάσεων·* σὺ γὰρ εἶ ἡ σωτηρία* τοῦ γένους τῶν χριστιανῶν.

ΟΜΑΣ ΑΝΤΙΦΩΝΟΥ Γ'

Δ. Τὴν μικρὰν συναπτὴν

Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Λ. Κύριε, ἐλέησον.

Δ. Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Λ. Κύριε, ἐλέησον.

Δ. Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, δεσποίνης ἡμῶν, Θεοτόκου καὶ ἀειπαρθέ-

νου Μαρίας μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Λ. Σοί, Κύριε.

Ι. Τὴν εὐχὴν τοῦ Γ' ἀντιφώνου

Ὁ τὴν ἄυπνον καὶ ἀκατάπαυστον δοξολογίαν ὑπὸ τῶν ἐν οὐρανοῖς ἀσωμάτων καὶ νοερῶν δυνάμεων δεχόμενος Θεός, αἷς οὐχ ὑπάρχει φῶς ὑλικόν, ἀλλὰ τῆς σῆς ἀπροσίτου δόξης ἡ ἀΐδιος ἔλλαμψις τὸ ἀδιάστατον αὐταῖς τῆς ἁγιαστικῆς σου λατρείας χαρίζεται, ἐπίβλεψον ἐπὶ τὴν ἡμετέραν ταπείνωσιν καὶ πρόσδεξαι τὴν ἐν συμμέτρῳ τῆς ἀνθρωπίνης ἀσθενείας μιμήσει τῶν ὑπερουρανίων νόων προσαγομένην σοι παρ' ἡμῶν νυκτερινὴν ὑμνῳδίαν, μὴ πρὸς τὸ ἀνάξιον ἀφορῶν τῆς ἡμετέρας ζωῆς, ἀλλὰ πρὸς τὸ ἄμετρον τῆς σῆς ἀγαθότητος, δι' ἧς καὶ παρήγαγες ἡμᾶς ἐκ μὴ ὄντων καὶ πρὸς τὸ εἶναι συντηρεῖς καὶ τῆς σῆς αἰνέσεως τὴν εὐωδίαν διὰ τῶν ἁγίων σου γραφῶν ἐνέπνευσας ἡμῖν, αἰνεῖν σὲ τὸν μόνον ἅγιον, ἄρρητόν τε καὶ ἀκατάληπτον τῶν ἁπάντων ποιητὴν καὶ δεσπότην· ὃν προσκυνοῦντες δοξάζομεν, αἰτούμενοι τὴν ἐκ σκότους τῆς ἁμαρτίας ἀπολύτρωσιν καὶ τὴν ἐν τῷ φωτὶ τοῦ προσώπου σου ἀτελεύτητον μακαριότητα.

(ἐκφώνως) Ὅτι σὸν τὸ κράτος καὶ σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Λ. Ἀμήν.

Τὸ Γ' ἀντίφωνον. Ἦχος πλ. β'. Ψαλμὸς ρκα'

Τοῦ ἀντιφώνου τούτου ψαλλομένου, ὁ ἱερεὺς κρατῶν ἡμμένην λαμπάδα καὶ θυμιατήριον, θυμιᾷ πρῶτον τὸ θυσιαστήριον, ἔπειτα ἔξω τὸν ναὸν καὶ τὸν λαόν, ὡς ἔθος· εἰ δὲ διάκονός ἐστιν, αὐτὸς κατέχων τὴν λαμπάδα τοῦ ἱερέως προπορεύεται.

Εὐφράνθην ἐπὶ τοῖς εἰρηκόσι μοι· Εἰς οἶκον Κυρίου πορευσόμεθα.

Ἐλέησον ἡμᾶς, Κύριε,* ἐλέησον ἡμᾶς·* πάσης γὰρ ἀπολογίας ἀποροῦντες,* ταύτην σοι τὴν ἱκεσίαν, ὡς δεσπότῃ,* οἱ ἁμαρτωλοὶ προσφέρομεν·* ἐλέησον ἡμᾶς.

Ἑστῶτες ἦσαν οἱ πόδες ἡμῶν ἐν ταῖς αὐλαῖς σου, Ἱερουσαλήμ.

Ἐλέησον ἡμᾶς, Κύριε,* ἐλέησον ἡμᾶς·* πάσης γὰρ ἀπολογίας ἀποροῦντες,* ταύτην σοι τὴν ἱκεσίαν, ὡς δεσπότῃ,* οἱ ἁμαρτωλοὶ προσφέρομεν·* ἐλέησον ἡμᾶς.

Ἕνεκα τῶν ἀδελφῶν μου καὶ τῶν πλησίων μου ἐλάλουν δὴ εἰρήνην περὶ σοῦ.

Ἐλέησον ἡμᾶς, Κύριε,* ἐλέησον ἡμᾶς·* πάσης γὰρ ἀπολογίας ἀποροῦντες,* ταύτην σοι τὴν ἱκεσίαν, ὡς δεσπότῃ,* οἱ ἁμαρτωλοὶ προσφέρομεν·* ἐλέησον ἡμᾶς.

Ἕνεκα τοῦ οἴκου Κυρίου τοῦ Θεοῦ ἡμῶν ἐξεζήτησα ἀγαθά σοι.

Ἐλέησον ἡμᾶς, Κύριε,* ἐλέησον ἡμᾶς·* πάσης γὰρ ἀπολογίας ἀποροῦντες,* ταύτην σοι τὴν ἱκε-

σίαν, ὡς δεσπότῃ,* οἱ ἁμαρτωλοὶ προσφέρομεν·* ἐλέησον ἡμᾶς.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Ἐλέησον ἡμᾶς, Κύριε,* ἐλέησον ἡμᾶς·* πάσης γὰρ ἀπολογίας ἀποροῦντες,* ταύτην σοι τὴν ἱκεσίαν, ὡς δεσπότῃ,* οἱ ἁμαρτωλοὶ προσφέρομεν·* ἐλέησον ἡμᾶς.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

Ἐλέησον ἡμᾶς, Κύριε,* ἐλέησον ἡμᾶς·* πάσης γὰρ ἀπολογίας ἀποροῦντες,* ταύτην σοι τὴν ἱκεσίαν, ὡς δεσπότῃ,* οἱ ἁμαρτωλοὶ προσφέρομεν·* ἐλέησον ἡμᾶς.

Περισσὴ δὲ οὐ λέγεται, ἀλλ' εὐθέως ὁ ν΄ ψαλμὸς

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου. Ἐλεήμων Κύριε, ἐλέησόν με.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με. Ἐλεήμων Κύριε, ἐλέησόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διαπαντός. Ἐλεήμων Κύριε, ἐλέησόν με.

Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε. Ἐλεήμων Κύριε, ἐλέησόν με.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην καὶ ἐν ἁμαρ-

τίαις ἐκίσσησέ με ἡ μήτηρ μου. Ἐλεῆμων Κύριε, ἐλέησόν με.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας· τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι. Ἐλεῆμων Κύριε, ἐλέησόν με.

Ῥαντιεῖς με ὑσσώπῳ καὶ καθαρισθήσομαι, πλυνεῖς με καὶ ὑπὲρ χιόνα λευκανθήσομαι. Ἐλεῆμων Κύριε, ἐλέησόν με.

Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην· ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα. Ἐλεῆμων Κύριε, ἐλέησόν με.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον. Ἐλεῆμων Κύριε, ἐλέησόν με.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου. Ἐλεῆμων Κύριε, ἐλέησόν με.

Μὴ ἀπορρίψῃς με ἀπὸ τοῦ προσώπου σου καὶ τὸ πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ. Ἐλεῆμων Κύριε, ἐλέησόν με.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με. Ἐλεῆμων Κύριε, ἐλέησόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς σου καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι. Ἐλεῆμων Κύριε, ἐλέησόν με.

Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου, ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου. Ἐλεῆμων Κύριε, ἐλέησόν με.

Κύριε, τὰ χείλη μου ἀνοίξεις καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου. Ἐλεήμων Κύριε, ἐλέησόν με.

Ὅτι εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις. Ἐλεήμων Κύριε, ἐλέησόν με.

Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον· καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει. Ἐλεήμων Κύριε, ἐλέησόν με.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιὼν καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ. Ἐλεήμων Κύριε, ἐλέησόν με.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα. Ἐλεήμων Κύριε, ἐλέησόν με.

Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους. Ἐλεήμων Κύριε, ἐλέησόν με.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι. Ἐλεήμων Κύριε, ἐλέησόν με.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν. Ἐλεήμων Κύριε, ἐλέησόν με.

(Περισσή) Ἐλέησον ἡμᾶς, Κύριε,* ἐλέησον ἡμᾶς·* πάσης γὰρ ἀπολογίας ἀποροῦντες,* ταύτην σοι τὴν ἱκεσίαν, ὡς δεσπότῃ,* οἱ ἁμαρτωλοὶ προσφέρομεν·* ἐλέησον ἡμᾶς.

ΤΟ ΕΥΑΓΓΕΛΙΟΝ

Λ. Τὸ α΄ προκείμενον

Κύριος ἰσχὺν τῷ λαῷ αὐτοῦ δώσει **(δίς)**.

Στίχ. Ἐνέγκατε τῷ Κυρίῳ, υἱοὶ Θεοῦ.
Κύριος ἰσχὺν τῷ λαῷ αὐτοῦ δώσει.

Δ. Τοῦ Κυρίου δεηθῶμεν.

Λ. Κύριε, ἐλέησον.

Ι. Ὅτι ἅγιος εἶ, ὁ Θεὸς ἡμῶν, καὶ ἐν ἁγίοις ἐπαναπαύῃ καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Λ. Ἀμήν.

Τὸ β΄ προκείμενον. Ἦχος β΄

Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον (δίς).

Στίχ. Αἰνεῖτε τὸν Θεὸν ἐν τοῖς ἁγίοις αὐτοῦ, αἰνεῖτε αὐτὸν ἐν στερεώματι τῆς δυνάμεως αὐτοῦ.

Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Δ. Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι ἡμᾶς τῆς ἀκροάσεως τοῦ ἁγίου Εὐαγγελίου Κύριον τὸν Θεὸν ἡμῶν ἱκετεύσωμεν.

Λ. Κύριε, ἐλέησον (γ΄).

Δ. Σοφία· ὀρθοὶ ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου.

Ι. Εἰρήνη πᾶσι.

Λ. Καὶ τῷ πνεύματί σου.

Ι. Ἐκ τοῦ κατὰ Ματθαῖον ἁγίου Εὐαγγελίου τὸ ἀνάγνωσμα.

Δ. Πρόσχωμεν.

Λ. Δόξα σοι, Κύριε, δόξα σοι.

Ι. Ἀναγινώσκει τὸ Εὐαγγέλιον

Εἶπεν ὁ Κύριος· Αἰτεῖτε καὶ δοθήσεται ὑμῖν· ζητεῖτε καὶ εὑρήσετε· κρούετε καὶ ἀνοιγήσεται ὑμῖν. Πᾶς γὰρ ὁ αἰτῶν λαμβάνει καὶ ὁ ζητῶν εὑρίσκει καὶ τῷ κρούοντι

ἀνοιγήσεται. Ἢ τίς ἐστιν ἐξ ὑμῶν ἄνθρωπος, ὃν ἐὰν αἰτήσῃ ὁ υἱὸς αὐτοῦ ἄρτον, μὴ λίθον ἐπιδώσει αὐτῷ; καὶ ἐὰν ἰχθὺν αἰτήσῃ, μὴ ὄφιν ἐπιδώσει αὐτῷ; Εἰ οὖν ὑμεῖς, πονηροὶ ὄντες, οἴδατε δόματα ἀγαθὰ διδόναι τοῖς τέκνοις ὑμῶν, πόσῳ μᾶλλον ὁ Πατὴρ ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς δώσει ἀγαθὰ τοῖς αἰτοῦσιν αὐτόν;

Λ. Δόξα σοι, Κύριε, δόξα σοι.

«Η ΑΣΩΜΑΤΟΣ ΦΥΣΙΣ»

Λ. Ἡ ἀσώματος φύσις, τὰ χερουβίμ,* ἀσιγήτοις σε ὕμνοις δοξολογεῖ.

Ἑξαπτέρυγα ζῶα, τὰ σεραφίμ,* ταῖς ἀπαύστοις φωναῖς σε ὑπερυψοῖ.

Τῶν ἀγγέλων τε πᾶσα ἡ στρατιὰ* τρισαγίοις σε ᾄσμασιν εὐφημεῖ.

Πρὸ γὰρ πάντων ὑπάρχεις ὁ ὢν Πατὴρ* καὶ συνάναρχον ἔχεις τὸν σὸν Υἱόν.

Καὶ ἰσότιμον φέρων Πνεῦμα ζωῆς,* τῆς Τριάδος δεικνύεις τὸ ἀμερές.

Παναγία παρθένε, μῆτερ Θεοῦ,* οἱ τοῦ Λόγου αὐτόπται καὶ ὑπουργοί.

Προφητῶν καὶ μαρτύρων πάντες χοροί,* ὡς ἀθάνατον ἔχοντες τὴν ζωήν.

Ὑπὲρ πάντων πρεσβεύσατε ἐκτενῶς,* ὅτι πάντες ὑπάρχομεν ἐν δεινοῖς.

Ἵνα πλάνης ῥυσθέντες τοῦ πονηροῦ,* τῶν ἀγγέλων βοήσωμεν τὴν ᾠδήν.

Ἅγιε, ἅγιε, ἅγιε, τρισάγιε Κύριε,* ἐλέησον καὶ σῶσον ἡμᾶς· ἀμήν.

Λ. Κύριε, ἐλέησον (γ').
Κύριε, ἐλέησον (μ').

Δ. Ἔτι δεόμεθα ὑπὲρ τοῦ εἰσακοῦσαι Κύριον τὸν Θεὸν φωνῆς τῆς δεήσεως ἡμῶν τῶν ἁμαρτωλῶν καὶ ἐλεῆσαι ἡμᾶς.

Λ. Κύριε, ἐλέησον (γ').

Δ. Τοῦ Κυρίου δεηθῶμεν.

Λ. Κύριε, ἐλέησον.

Ι. Τὴν εὐχὴν τῆς ἀπολύσεως

Δέσποτα παντοκράτορ, ἀκατάληπτε, ἡ ἀρχίφωτος καὶ ἀπερινόητος οὐσία, ὁ τῆς μονογενοῦς καὶ ἐνυποστάτου σου Σοφίας Πατήρ, ὁ τοῦ ζωοποιοῦ σου καὶ παντοδυνάμου Πνεύματος προβολεύς, ὁ διὰ σπλάγχνα ἐλέους καὶ ἄφατον ἀγαθότητα μὴ παριδὼν τὴν ἀνθρώπων φύσιν τῷ σκότῳ τῆς ἁμαρτίας συνεχομένην, ἀλλὰ τὰ θεῖα φῶτα τῶν ἱερῶν σου διδαγμάτων διὰ νόμου καὶ προφητῶν ἀναλάμψας ἡμῖν, ὕστερον δὲ ἡμῖν αὐτὸν τὸν ἀληθινὸν καὶ ἄδυτον τῆς δικαιοσύνης ἥλιον, τὸν μονογενῆ σου Υἱὸν εὐδοκήσας διὰ σαρκὸς ἀνατεῖλαι καὶ πρὸς τὴν λάμψιν τοῦ σοῦ φωτισμοῦ ὁδηγῆσαι, γενηθήτω τὰ ὦτά σου προσέχοντα εἰς τὴν φωνὴν τῆς δεήσεως ἡμῶν καὶ δώρησαι ἡμῖν ἐν ἀγρύπνῳ καὶ νηφούσῃ ψυχῇ πᾶσαν τὴν τοῦ παρόντος νύκτα ἡμᾶς διελθεῖν, ἐκδεχομένους τῆς ἡμέρας τοῦ Χριστοῦ σου καὶ Θεοῦ ἡμῶν, τοῦ κριτοῦ τῶν ἁπάντων, τὴν παρουσίαν, ἵνα μὴ ἀναπεπτωκότες καὶ ὑπνώσαντες, ἀλλὰ γρηγοροῦν-

τες καὶ διεγηγερμένοι ἐν τῇ ἐργασίᾳ τῶν ἐντολῶν αὐτοῦ εὑρεθῶμεν καὶ εἰς τὴν χαρὰν αὐτοῦ τοῦ Κυρίου εἰσέλθωμεν, ἔνθα ἀπέδρα ὀδύνη, λύπη καὶ στεναγμός, ἔνθα εὐφραινομένων πάντων ἡ κατοικία ἐν σοί.

(ἐκφώνως) Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Λ. Ἀμήν.

ΚΕΦΑΛΟΚΛΙΣΙΑ - ΑΠΟΛΥΣΙΣ

Ι. Εἰρήνη πᾶσι.

Λ. Καὶ τῷ πνεύματί σου.

Δ. Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

Λ. Σοί, Κύριε.

Ι. Τὴν εὐχὴν τῆς κεφαλοκλισίας (πρὸς τὸν λαόν)

Κύριε ὁ Θεὸς ἡμῶν, κλῖνον τὰς καρδίας ἡμῶν εἰς ὑπακοὴν τῶν θείων σου προσταγμάτων καὶ ἀπόστρεψον τοὺς ὀφθαλμοὺς τῆς διανοίας ἡμῶν τοῦ μὴ προσκεῖσθαι τῇ κοσμικῇ ματαιότητι, ἀλλ' ἐνατενίζειν τῷ κάλλει τῆς δόξης σου διὰ παντὸς καταξίωσον.

(ἐκφώνως) Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν, Θεὸς τοῦ ἐλεεῖν καὶ σῴζειν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Λ. Ἀμήν.

Δ. Ἐν εἰρήνῃ προέλθωμεν.

ΠΑΡΑΡΤΗΜΑ

ΑΝΤΙΦΩΝΟΝ Α΄

Ἦχος πλ. α΄. Ψαλμὸς ριθ΄

Πρὸς Κύριον ἐν τῷ θλίβεσθαί με ἐκέκραξα καὶ εἰσήκουσέ μου.

Ὡς οἰκτίρμων, Κύριε,* σπλαγχνίσθητι ἐπὶ τὸν λαόν σου,* ὡς μακρόθυμος διαλλάγηθι* καὶ ἐλέησον ἡμᾶς.

Κύριε, ῥῦσαι τὴν ψυχήν μου ἀπὸ χειλέων ἀδίκων καὶ ἀπὸ γλώσσης δολίας.

Ὡς μακρόθυμος διαλλάγηθι* καὶ ἐλέησον ἡμᾶς.

Τί δοθείη σοι καὶ τί προστεθείη σοι πρὸς γλῶσσαν δολίαν;

Ὡς μακρόθυμος διαλλάγηθι* καὶ ἐλέησον ἡμᾶς.

Τὰ βέλη τοῦ δυνατοῦ ἠκονημένα σὺν τοῖς ἄνθραξι τοῖς ἐρημικοῖς.

Ὡς μακρόθυμος διαλλάγηθι* καὶ ἐλέησον ἡμᾶς.

Οἴμοι, ὅτι ἡ παροικία μου ἐμακρύνθη, κατεσκήνωσα μετὰ τῶν σκηνωμάτων Κηδάρ.

Ὡς μακρόθυμος διαλλάγηθι* καὶ ἐλέησον ἡμᾶς.

Πολλὰ παρῴκησεν ἡ ψυχή μου.

Ὡς μακρόθυμος διαλλάγηθι* καὶ ἐλέησον ἡμᾶς.

Μετὰ τῶν μισούντων τὴν εἰρήνην ἤμην εἰρηνικός.

Ὡς μακρόθυμος διαλλάγηθι* καὶ ἐλέησον ἡμᾶς.

Ὅταν ἐλάλουν αὐτοῖς, ἐπολέμουν με δωρεάν.

Ὡς μακρόθυμος διαλλάγηθι* καὶ ἐλέησον ἡμᾶς.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Ὡς μακρόθυμος διαλλάγηθι* καὶ ἐλέησον ἡμᾶς.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

Ὡς μακρόθυμος διαλλάγηθι* καὶ ἐλέησον ἡμᾶς.

(Περισσή) Ὡς οἰκτίρμων, Κύριε,* σπλαγχνίσθητι ἐπὶ τὸν λαόν σου,* ὡς μακρόθυμος διαλλάγηθι* καὶ ἐλέησον ἡμᾶς.

ΑΝΤΙΦΩΝΟΝ Β'

Ἦχος πλ. β'. Ψαλμὸς ρκ'

Ἦρα τοὺς ὀφθαλμούς μου εἰς τὰ ὄρη, ὅθεν ἥξει ἡ βοήθειά μου.

Τῆς εὐσπλαγχνίας τὴν πύλην* ἄνοιξον ἡμῖν,* εὐλογημένη Θεοτόκε·* ἐλπίζοντες εἰς σὲ* μὴ ἀστοχήσωμεν·* ῥυθείημεν διὰ σοῦ τῶν περιστάσεων·* σὺ γὰρ εἶ ἡ σωτηρία* τοῦ γένους τῶν χριστιανῶν.

Ἡ βοήθειά μου παρὰ Κυρίου τοῦ ποιήσαντος τὸν οὐρανὸν καὶ τὴν γῆν.

Ῥυσθείημεν διὰ σοῦ τῶν περιστάσεων·* σὺ γὰρ εἶ ἡ σωτηρία* τοῦ γένους τῶν χριστιανῶν.

Μὴ δώῃς εἰς σάλον τὸν πόδα σου, μηδὲ νυστάξῃ ὁ φυλάσσων σε.

Ῥυσθείημεν διὰ σοῦ τῶν περιστάσεων·* σὺ γὰρ εἶ ἡ σωτηρία* τοῦ γένους τῶν χριστιανῶν.

Ἰδοὺ οὐ νυστάξει οὐδὲ ὑπνώσει ὁ φυλάσσων τὸν Ἰσραήλ.

Ῥυσθείημεν διὰ σοῦ τῶν περιστάσεων·* σὺ γὰρ εἶ ἡ σωτηρία* τοῦ γένους τῶν χριστιανῶν.

Κύριος φυλάξει σε, Κύριος σκέπη σοι ἐπὶ χεῖρα δεξιάν σου.

Ῥυσθείημεν διὰ σοῦ τῶν περιστάσεων·* σὺ γὰρ εἶ ἡ σωτηρία* τοῦ γένους τῶν χριστιανῶν.

Ἡμέρας ὁ ἥλιος οὐ συγκαύσει σε, οὐδὲ ἡ σελήνη τὴν νύκτα.

Ῥυθείημεν διὰ σοῦ τῶν περιστάσεων·* σὺ γὰρ εἶ ἡ σωτηρία* τοῦ γένους τῶν χριστιανῶν.

Κύριος φυλάξει σε ἀπὸ παντὸς κακοῦ, φυλάξει τὴν ψυχήν σου ὁ Κύριος.

Ῥυσθείημεν διὰ σοῦ τῶν περιστάσεων·* σὺ γὰρ εἶ ἡ σωτηρία* τοῦ γένους τῶν χριστιανῶν.

Κύριος φυλάξει τὴν εἴσοδόν σου καὶ τὴν ἔξοδόν σου ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος.

Ῥυσθείημεν διὰ σοῦ τῶν περιστάσεων·* σὺ γὰρ εἶ ἡ σωτηρία* τοῦ γένους τῶν χριστιανῶν.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Ῥυσθείημεν διὰ σοῦ τῶν περιστάσεων·* σὺ γὰρ εἶ ἡ σωτηρία* τοῦ γένους τῶν χριστιανῶν.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

Ῥυσθείημεν διὰ σοῦ τῶν περιστάσεων·* σὺ γὰρ εἶ ἡ σωτηρία* τοῦ γένους τῶν χριστιανῶν.

(Περισσή) Τῆς εὐσπλαγχνίας τὴν πύλην* ἄνοιξον ἡμῖν,* εὐλογημένη Θεοτόκε·* ἐλπίζοντες εἰς σὲ* μὴ ἀστοχήσωμεν·* ῥυσθείημεν διὰ σοῦ τῶν περιστάσεων·* σὺ γὰρ εἶ ἡ σωτηρία* τοῦ γένους τῶν χριστιανῶν.

ΑΝΤΙΦΩΝΟΝ Γ'

Ἦχος πλ. β'. Ψαλμὸς ρκα

Εὐφράνθην ἐπὶ τοῖς εἰρηκόσι μοι· Εἰς οἶκον Κυρίου πορευσόμεθα. Ἑστῶτες ἦσαν οἱ πόδες ἡμῶν ἐν ταῖς αὐλαῖς σου, Ἱερουσαλήμ.

Ἐλέησον ἡμᾶς, Κύριε,* ἐλέησον ἡμᾶς·* πάσης γὰρ ἀπολογίας ἀποροῦντες,* ταύτην σοι τὴν ἱκεσίαν, ὡς δεσπότῃ,* οἱ ἁμαρτωλοὶ προσφέρομεν·* ἐλέησον ἡμᾶς.

Ἱερουσαλὴμ οἰκοδομουμένη ὡς πόλις, ἧς ἡ μετοχὴ αὐτῆς ἐπὶ τὸ αὐτό.

Ταύτην σοι τὴν ἱκεσίαν, ὡς δεσπότῃ,* οἱ ἁμαρτωλοὶ προσφέρομεν·* ἐλέησον ἡμᾶς.

Ἐκεῖ γὰρ ἀνέβησαν αἱ φυλαί, φυλαὶ Κυρίου, μαρτύριον τῷ Ἰσραὴλ τοῦ ἐξομολογήσασθαι τῷ ὀνόματι Κυρίου.

Ταύτην σοι τὴν ἱκεσίαν, ὡς δεσπότῃ,* οἱ ἁμαρτωλοὶ προσφέρομεν·* ἐλέησον ἡμᾶς.

"Οτι ἐκεῖ ἐκάθισαν θρόνοι εἰς κρίσιν, θρόνοι ἐπὶ οἶκον Δαυΐδ.

Ταύτην σοι τὴν ἱκεσίαν, ὡς δεσπότη,* οἱ ἁμαρτωλοὶ προσφέρομεν· ἐλέησον ἡμᾶς.

Ἐρωτήσατε δὴ τὰ εἰς εἰρήνην τὴν Ἱερουσαλὴμ καὶ εὐθηνία τοῖς ἀγαπῶσί σε.

Ταύτην σοι τὴν ἱκεσίαν, ὡς δεσπότη,* οἱ ἁμαρτωλοὶ προσφέρομεν·* ἐλέησον ἡμᾶς.

Γενέσθω δὴ εἰρήνη ἐν τῇ δυνάμει σου καὶ εὐθηνία ἐν ταῖς πυργοβάρεσί σου.

Ταύτην σοι τὴν ἱκεσίαν, ὡς δεσπότη,* οἱ ἁμαρτωλοὶ προσφέρομεν·* ἐλέησον ἡμᾶς.

Ἕνεκα τῶν ἀδελφῶν μου καὶ τῶν πλησίον μου ἐλάλουν δὴ εἰρήνην περὶ σοῦ.

Ταύτην σοι τὴν ἱκεσίαν, ὡς δεσπότη,* οἱ ἁμαρτωλοὶ προσφέρομεν·* ἐλέησον ἡμᾶς.

Ἕνεκα τοῦ οἴκου Κυρίου τοῦ Θεοῦ ἡμῶν ἐξεζήτησα ἀγαθά σοι.

Ταύτην σοι τὴν ἱκεσίαν, ὡς δεσπότη,* οἱ ἁμαρτωλοὶ προσφέρομεν·* ἐλέησον ἡμᾶς.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Ταύτην σοι τὴν ἱκεσίαν, ὡς δεσπότη,* οἱ ἁμαρτωλοὶ προσφέρομεν·* ἐλέησον ἡμᾶς.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

Ταύτην σοι τὴν ἱκεσίαν, ὡς δεσπότη,* οἱ ἁμαρτωλοὶ προσφέρομεν·* ἐλέησον ἡμᾶς.

ΠΑΡΑΡΤΗΜΑ

ΑΝΤΙΦΩΝΟΝ Α'

Ἦχος πλ. α'. Ψαλμὸς ριθ'

Πρὸς Κύριον ἐν τῷ θλίβεσθαί με ἐκέκραξα καὶ εἰσήκουσέ μου.

Ὡς οἰκτίρμων, Κύριε,* σπλαγχνίσθητι ἐπὶ τὸν λαόν σου,* ὡς μακρόθυμος διαλλάγηθι* καὶ ἐλέησον ἡμᾶς.

Κύριε, ῥῦσαι τὴν ψυχήν μου ἀπὸ χειλέων ἀδίκων καὶ ἀπὸ γλώσσης δολίας.

Ὡς μακρόθυμος διαλλάγηθι* καὶ ἐλέησον ἡμᾶς.

Τί δοθείη σοι καὶ τί προστεθείη σοι πρὸς γλῶσσαν δολίαν;

Ὡς μακρόθυμος διαλλάγηθι* καὶ ἐλέησον ἡμᾶς.

Τὰ βέλη τοῦ δυνατοῦ ἠκονημένα σὺν τοῖς ἄνθραξι τοῖς ἐρημικοῖς.

Ὡς μακρόθυμος διαλλάγηθι* καὶ ἐλέησον ἡμᾶς.

Οἴμοι, ὅτι ἡ παροικία μου ἐμακρύνθη, κατεσκήνωσα μετὰ τῶν σκηνωμάτων Κηδάρ.

Ὡς μακρόθυμος διαλλάγηθι* καὶ ἐλέησον ἡμᾶς.

Πολλὰ παρῴκησεν ἡ ψυχή μου.

Ὡς μακρόθυμος διαλλάγηθι* καὶ ἐλέησον ἡμᾶς.

Μετὰ τῶν μισούντων τὴν εἰρήνην ἤμην εἰρηνικός.

Ὡς μακρόθυμος διαλλάγηθι* καὶ ἐλέησον ἡμᾶς.

Ὅταν ἐλάλουν αὐτοῖς, ἐπολέμουν με δωρεάν.

Ὡς μακρόθυμος διαλλάγηθι* καὶ ἐλέησον ἡμᾶς.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Ὡς μακρόθυμος διαλλάγηθι* καὶ ἐλέησον ἡμᾶς.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

Ὡς μακρόθυμος διαλλάγηθι* καὶ ἐλέησον ἡμᾶς.

(Περισσή) Ὡς οἰκτίρμων, Κύριε,* σπλαγχνίσθητι ἐπὶ τὸν λαόν σου,* ὡς μακρόθυμος διαλλάγηθι* καὶ ἐλέησον ἡμᾶς.

ΑΝΤΙΦΩΝΟΝ Β΄

Ἦχος πλ. β΄. Ψαλμὸς ρκ΄

Ἦρα τοὺς ὀφθαλμούς μου εἰς τὰ ὄρη, ὅθεν ἥξει ἡ βοήθειά μου.

Τῆς εὐσπλαγχνίας τὴν πύλην* ἄνοιξον ἡμῖν,* εὐλογημένη Θεοτόκε·* ἐλπίζοντες εἰς σὲ* μὴ ἀστοχήσωμεν·* ῥυθείημεν διὰ σοῦ τῶν περιστάσεων·* σὺ γὰρ εἶ ἡ σωτηρία* τοῦ γένους τῶν χριστιανῶν.

Ἡ βοήθειά μου παρὰ Κυρίου τοῦ ποιήσαντος τὸν οὐρανὸν καὶ τὴν γῆν.

Ῥυσθείημεν διὰ σοῦ τῶν περιστάσεων·* σὺ γὰρ εἶ ἡ σωτηρία* τοῦ γένους τῶν χριστιανῶν.

Μὴ δῴης εἰς σάλον τὸν πόδα σου, μηδὲ νυστάξῃ ὁ φυλάσσων σε.

Ῥυσθείημεν διὰ σοῦ τῶν περιστάσεων·* σὺ γὰρ εἶ ἡ σωτηρία* τοῦ γένους τῶν χριστιανῶν.

Ἰδοὺ οὐ νυστάξει οὐδὲ ὑπνώσει ὁ φυλάσσων τὸν Ἰσραήλ.

Ῥυσθείημεν διὰ σοῦ τῶν περιστάσεων·* σὺ γὰρ εἶ ἡ σωτηρία* τοῦ γένους τῶν χριστιανῶν.

Κύριος φυλάξει σε, Κύριος σκέπη σοι ἐπὶ χεῖρα δεξιάν σου.

Ῥυσθείημεν διὰ σοῦ τῶν περιστάσεων·* σὺ γὰρ εἶ ἡ σωτηρία* τοῦ γένους τῶν χριστιανῶν.

Ἡμέρας ὁ ἥλιος οὐ συγκαύσει σε, οὐδὲ ἡ σελήνη τὴν νύκτα.

Ῥυθείημεν διὰ σοῦ τῶν περιστάσεων·* σὺ γὰρ εἶ ἡ σωτηρία* τοῦ γένους τῶν χριστιανῶν.

Κύριος φυλάξει σε ἀπὸ παντὸς κακοῦ, φυλάξει τὴν ψυχήν σου ὁ Κύριος.

Ῥυσθείημεν διὰ σοῦ τῶν περιστάσεων·* σὺ γὰρ εἶ ἡ σωτηρία* τοῦ γένους τῶν χριστιανῶν.

Κύριος φυλάξει τὴν εἴσοδόν σου καὶ τὴν ἔξοδόν σου ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος.

Ῥυσθείημεν διὰ σοῦ τῶν περιστάσεων·* σὺ γὰρ εἶ ἡ σωτηρία* τοῦ γένους τῶν χριστιανῶν.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Ῥυσθείημεν διὰ σοῦ τῶν περιστάσεων·* σὺ γὰρ εἶ ἡ σωτηρία* τοῦ γένους τῶν χριστιανῶν.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

Ῥυσθείημεν διὰ σοῦ τῶν περιστάσεων·* σὺ γὰρ εἶ ἡ σωτηρία* τοῦ γένους τῶν χριστιανῶν.

(Περισσή) Τῆς εὐσπλαγχνίας τὴν πύλην* ἄνοιξον ἡμῖν,* εὐλογημένη Θεοτόκε·* ἐλπίζοντες εἰς σὲ* μὴ ἀστοχήσωμεν·* ῥυσθείημεν διὰ σοῦ τῶν περιστάσεων·* σὺ γὰρ εἶ ἡ σωτηρία* τοῦ γένους τῶν χριστιανῶν.

ΑΝΤΙΦΩΝΟΝ Γ'

Ἦχος πλ. β'. Ψαλμὸς ρκα

Εὐφράνθην ἐπὶ τοῖς εἰρηκόσι μοι· Εἰς οἶκον Κυρίου πορευσόμεθα. Ἑστῶτες ἦσαν οἱ πόδες ἡμῶν ἐν ταῖς αὐλαῖς σου, Ἱερουσαλήμ.

Ἐλέησον ἡμᾶς, Κύριε,* ἐλέησον ἡμᾶς·* πάσης γὰρ ἀπολογίας ἀποροῦντες,* ταύτην σοι τὴν ἱκεσίαν, ὡς δεσπότῃ,* οἱ ἁμαρτωλοὶ προσφέρομεν·* ἐλέησον ἡμᾶς.

Ἱερουσαλὴμ οἰκοδομουμένη ὡς πόλις, ἧς ἡ μετοχὴ αὐτῆς ἐπὶ τὸ αὐτό.

Ταύτην σοι τὴν ἱκεσίαν, ὡς δεσπότῃ,* οἱ ἁμαρτωλοὶ προσφέρομεν·* ἐλέησον ἡμᾶς.

Ἐκεῖ γὰρ ἀνέβησαν αἱ φυλαί, φυλαὶ Κυρίου, μαρτύριον τῷ Ἰσραὴλ τοῦ ἐξομολογήσασθαι τῷ ὀνόματι Κυρίου.

Ταύτην σοι τὴν ἱκεσίαν, ὡς δεσπότῃ,* οἱ ἁμαρτωλοὶ προσφέρομεν·* ἐλέησον ἡμᾶς.

Ὅτι ἐκεῖ ἐκάθισαν θρόνοι εἰς κρίσιν, θρόνοι ἐπὶ οἶκον Δαυΐδ.

Ταύτην σοι τὴν ἱκεσίαν, ὡς δεσπότῃ,* οἱ ἁμαρτωλοὶ προσφέρομεν· ἐλέησον ἡμᾶς.

Ἐρωτήσατε δὴ τὰ εἰς εἰρήνην τὴν Ἱερουσαλὴμ καὶ εὐθηνία τοῖς ἀγαπῶσί σε.

Ταύτην σοι τὴν ἱκεσίαν, ὡς δεσπότῃ,* οἱ ἁμαρτωλοὶ προσφέρομεν·* ἐλέησον ἡμᾶς.

Γενέσθω δὴ εἰρήνη ἐν τῇ δυνάμει σου καὶ εὐθηνία ἐν ταῖς πυργοβάρεσί σου.

Ταύτην σοι τὴν ἱκεσίαν, ὡς δεσπότῃ,* οἱ ἁμαρτωλοὶ προσφέρομεν·* ἐλέησον ἡμᾶς.

Ἕνεκα τῶν ἀδελφῶν μου καὶ τῶν πλησίον μου ἐλάλουν δὴ εἰρήνην περὶ σοῦ.

Ταύτην σοι τὴν ἱκεσίαν, ὡς δεσπότῃ,* οἱ ἁμαρτωλοὶ προσφέρομεν·* ἐλέησον ἡμᾶς.

Ἕνεκα τοῦ οἴκου Κυρίου τοῦ Θεοῦ ἡμῶν ἐξεζήτησα ἀγαθά σοι.

Ταύτην σοι τὴν ἱκεσίαν, ὡς δεσπότῃ,* οἱ ἁμαρτωλοὶ προσφέρομεν·* ἐλέησον ἡμᾶς.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Ταύτην σοι τὴν ἱκεσίαν, ὡς δεσπότῃ,* οἱ ἁμαρτωλοὶ προσφέρομεν·* ἐλέησον ἡμᾶς.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

Ταύτην σοι τὴν ἱκεσίαν, ὡς δεσπότῃ,* οἱ ἁμαρτωλοὶ προσφέρομεν·* ἐλέησον ἡμᾶς.